„ὄπατρον“: ψιλωτέον, οὐχ ὡς οἴονται διὰ τὴν συγκοπήν. πολλὰ γάρ φασι διὰ τὴν συγκοπὴν ψιλοῦσθαι. ἀπεδείξαμεν δὲ ἡμεῖς ἐν ἑτέροις, ὡς καὶ δασύνεται. ἑστήκαμεν γοῦν καὶ ἕσταμεν, Ἡράκλεες Ἥρακλες. τί οὖν ἐκώλυεν, εἰ καὶ ἀπὸ τοῦ ὁμόπατρος ἦν, τὸ κατὰ συγκοπὴν πάλιν δασύνεσθαι; ἄμεινον οὖν λέγειν ὅτι φιλεῖ τὸ ο πρὸ τοῦ π κείμενον μὴ κατὰ ἀναφορικὴν ἔννοιαν ψιλοῦσθαι, ὀπιπεύω, ὀπή, ὀπώρα[1]). παρὰ τὸ ἕπω δασυνόμενον ψιλούμενον ἐγένετο ὀπάων. οὕτως οὖν ἔχει καὶ τὸ ὄπατρος. προσέθηκα δὲ „εἰ μὴ ἀναφορικὴ σημασία“ διὰ τὸ ὁποῖος, ὅπως καὶ τὰ τοιαῦτα. ἀντιπίπτει δὲ τῷ προκειμένῳ κανόνι τὸ ὁπλή καὶ τὸ ὅπλον καὶ τὰ ἀπὸ τούτων παρηγμένα.

[1]) Cod. V. habet ut Venet. A: ὀπιπεύω, ὀπή, ὀπώρα. — Eust. 843, 9. Valde sunt decurtata.

15.

E. M. 636, 33.

„ὀτέοισιν“: Ἰλιάδος ο' — 491 — ἀντὶ τοῦ οἷστισι. τὸ ὅτοισι τρισύλλαβον ἐπὶ τὴν πρώτην ἔχει τὸν τόνον. τὸ δὲ ὀτέοισιν οὐκέτι·

L. Herod. Ο 491.

τὸ „ὅτοισι“ τρισύλλαβον ἐπὶ τὴν πρώτην ἔχει συλλαβὴν τὴν ὀξεῖαν, τὸ μέντοι ὀτέοισιν οὐκέτι, ἐπεὶ ἤμελλε τετάρτη ἀπὸ τέλους πίπτειν ἡ ὀξεῖα. διὸ ἐπὶ τὴν δευτέραν ἀπὸ τῆς ἀρχούσης μετέστη.

16.

E. M. 637, 31.

„οὐκ ἔα“: „τρεῖν μ' οὐκ ἔα Παλλὰς Ἀθήνη“ — Ἰλιάδος ε' 256 —. συστέλλεται τὸ ᾱ καὶ βαρύνεται. τὸ μὲν οὖν ἐντελὲς τοῦ ἐνεστῶτος ἐστὶν ἐῶ, ἐᾷς, ἐᾷ μετὰ τοῦ ι. τοῦ δὲ παρατατικοῦ εἴων, εἴας, εἴα, οὐ μετὰ[2]) τοῦ ι. καὶ τὸ προστακτικὸν ἔα. εἰ τοίνυν ἐστὶ τοιοῦτο τὸ „τρεῖν μ' οὐκ ἔα“ μόνον συνεστάλη τὸ ᾱ, καὶ ὁ παρατατικός ἐστιν ἰσοδύναμος τῷ[4]) ἐνεστῶτι· εἰ δὲ ἐνεστώς ἐστιν, ἀεὶ περισπᾶται[6]) καὶ σὺν τῷ ι

L. Herod. Ε 256.

„ἔα“: συστέλλεται τὸ ᾱ καὶ βαρύνεται. τὸ μὲν οὖν ἐντελὲς τοῦ ἐνεστῶτός ἐστιν ἐῶ, ἐᾷς, ἐᾷ, συν τῷ ι γραφόμενον ὡς[1]) τιμῶ, τιμᾷς, τιμᾷ. τοῦ δὲ παρατατικοῦ εἴων, εἴας, εἴα οὐ προσγραφομένου[2]) τοῦ ι „οὔ[3]) μ' εἴας μακάρεσσι“ — 819 —. καὶ τὸ τρίτον ἐν Ἰωνικῇ παραγωγῇ „τὸν δ' οὔτι πατὴρ εἴασκε μάχεσθαι“ — Υ 408 — καὶ „τόνδε δ' ἔασκεν“ — Ω 17 — καὶ προστακτικὸν „ἀλλ' ἔα ὥς οἱ πρῶτα“ — Α 276 —.

γράφεται, δῆλον ὅτι πολλὰ πάθη. συστολὴ τοῦ ᾱ καὶ ἐκβολὴ γίνεται[8]) τοῦ ῑ, καὶ μεταβολὴ τοῦ τόνου. εἰ μὴ ἐκδεξαίμεθα, ὅτι ἔθος αὐτῷ ταῦτα (τὰ) τῆς δευτέρας συζυγίας κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον πολλάκις διαλύειν εἰς δύο αα, ὧν τὸ μὲν πρῶτον[10]) συνεσταλμένον, τὸ δὲ δεύτερον ἐκτεταμένον καὶ σὺν τῷ ῑ γραφόμενον· οἷον „οὐχ ὁράᾳς οἷος κἀγώ“ — Φ 108 —. καὶ ἐπὶ τοῦ τρίτου „ἰσχανάᾳ δακέειν“ — Ρ 572 — „ἧτ᾽ ἐκ περάᾳ“ — ι 323 — „οὐκ ἐάᾳ Κρονίδης“ — Θ 414 — τοῦτο γοῦν[12]) τὸ ἐάᾳ δύναται κατὰ ἀποκοπὴν εἰρῆσθαι· οἷον „τρεῖν μ᾽ οὐκ ἔα“. ἔνθεν καὶ συστέλλεται[13]) τὸ ᾱ καὶ βαρύνεται. οὐκ ἄηθες δὲ καὶ ἐνεστῶτα[14]) ἀποκόπτεσθαι καὶ ἄλλους χρόνους, ὡς ἔχει τὸ „οὖτα κατὰ λαπάρην“ — Ζ 64 —. εἰ δέ τις ἐπιζητῶν[15]) ὁμοιότητα ἀπὸ τῶν εἰς ω περισπωμένων ἢ βαρυτόνων ἐπὶ τοῦ[16]) τρίτου ἀποκοπὴν οὐχ εὑρήσει, καὶ οὐδὲ[17]) τοῦτο παραδέξαιτο, ἑαυτὸν λήσει. περὶ γὰρ πάθους διαλαμβάνομεν.

εἰ τοίνυν ἐστὶ τοιοῦτο „τρεῖν μ᾽ οὐκ ἔα“ μόνον συνεστάλη τὸ ἄλφα, καὶ ὁ παρατατικός ἐστιν ἰσοδυναμῶν ἐνεστῶτι. εἰ δὲ ὁ[5]) ἐνεστὼς ἀεί ἐστι περισπώμενος[6]) καὶ σὺν τῷ ῑ γραφόμενος, δῆλον ὅτι πολλὰ πάθη. συστολὴ γὰρ[7]) τοῦ ᾱ, καὶ ἐκβολὴ τοῦ ῑ καὶ μεταβολὴ τοῦ τόνου, εἰ μὴ ἄλλως[9]) ἐκδεξαίμεθα, ὅτι ἔθος αὐτῷ ταῦτα τὰ τῆς δευτέρας συζυγίας κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον πολλάκις διαλύειν εἰς δύο αα, ὧν τὸ μὲν πρότερον[10]) συνεσταλμένον ἐστί[11]), τὸ δὲ δεύτερον ἐκτεταμένον καὶ σὺν τῷ ῑ γραφόμενον, ὁρᾷς „οὐχ ὁράᾳς οἷος κἀγώ“ — Φ 108 — καὶ ἐπὶ τοῦ τρίτου „ἰσχανάᾳ δακέειν“ — Ρ 572 — καὶ „ἐκπεράᾳ μέγα λαῖτμα“ — ι 323 — „οὐκ ἐάᾳ Κρονίδης“ — Θ 414 —. τοῦτο τοίνυν[12]) τὸ ἐάᾳ δύναται κατὰ ἀποκοπὴν εἰρῆσθαι „τρεῖν μ᾽ οὐκ ἔα“. ἔνθεν καὶ συνέσταλται[13]) τὸ ᾱ καὶ βεβάρυνται οὐκ ἄηθες δὲ καὶ ἐνεστῶτας[14]) ἀποκόπτεσθαι καὶ ἄλλους χρόνους, ὡς ἔχει τὸ „οὖτα κατὰ λαπάρην“ — Ζ 64 —. εἰ δέ τις ἐπιζητήσειεν[15]) ὁμοιότητα ἀπὸ τῶν εἰς ω περισπωμένων ἢ βαρυτόνων ἐπὶ τρίτου ἀποκοπήν, καὶ μὴ εὑρὼν μηδὲ[17]) τοῦτο παραδέξαιτο, ἑαυτὸν λήσει. περὶ γὰρ πάθους διαλαμβάνομεν.

[1]) ὡς — τιμᾷ om. Etym. [2]) μετὰ τοῦ ῑ Etym. — προσγραφομένου τοῦ ῑ Venet. A. [3]) verba οὐ — ἔασκεν desunt in Etym. [4]) τῷ om. Ven. A. [5]) ὁ articulum non habet Etym. [6]) ἀεὶ περισπᾶται Etym. — ἀεί ἐστι περισπώμενος Venet. A. [7]) γάρ deest in Etym. [8]) γίνεται non legitur in Venet. A. [9]) ἄλλως Etym. non habet. [10]) πρότερον Venet. A — πρῶτον Etym. [11]) ἐστί deest in Etym. [12]) γοῦν Etym. τοίνυν Venet. A. [13]) συστέλλεται Etym. συνέσταλται Venet. A. item βαρύνεται et βεβάρυνται. [14]) Etym. singularem, Venet. A. pluralem legit. [15]) ἐπιζητῶν Etym. ἐπιζητήσειεν Venet. A. [16]) τοῦ deest in Venet. A. [17]) οὐχ εὑρήσει καὶ οὐδὲ Etym. — καὶ μὴ εὑρὼν μηδὲ Etym. — cf. Eust. 546, 8.

17.

E. M. 648, 33.

„παλινορμένω“: Ἰλιάδος λ′ — 326 —. Τυραννίων δύο μέρη λόγου ποιεῖ. ὁ δὲ Ἑρμαπίας σύνθετον ἐκδέχεται, καὶ Ἀρίσταρχος, ἀντὶ τοῦ[1]) ὄπισθεν ὁρμῶντες, ὡς παλιμπλαγχθέντες καὶ εὐρυχρείων. σημαίνει δὲ τὸ ὑποστρέψαντες καὶ παλινδρομήσαντες. χρεῖττον δὲ τὸ πρῶτον.

L. Herod. Λ 326.

„παλινορμένω“: Τυραννίων δύο ποιεῖ, ὁ δὲ Ἑρμαπίας σύνθετον ἐκδέχεται καὶ Ἀρίσταρχος. εἴρηται δὲ περὶ τῆς συνθέσεως τοῦ πάλιν ὡς πρὸς τὰς μετοχὰς ἐν τῇ Α, ὅτι περὶ τοῦ πλαγχθέντας διελαμβάνομεν. (Α 59.)

[1]) haec ex Aristonico desumpta sunt cf. Carnuth, de Et. M. fontibus, prima pars, p. 22. (IV, 9.)

18.

E. M. 667, 48.

„πείρησαι“ προπαροξύτονον. προσταχτικὸν γάρ ἐστι καὶ οὐχ ἀπαρέμφατον V. ap. Gaisfordium in nota.

L. Herod. A 302.

„εἰ δ᾽ ἄγε μὴν πείρησαι“: προπαροξυτονητέον τὸ πείρησαι, ἵνα ᾖ προσταχτικόν . . . . . .

19.

E. M. 668, 30.

„πείρων“: ἀντὶ τοῦ περῶν, Ἰλιάδος ω΄ — 8 —. Πάμφιλος περισπωμένως, λέγων τὴν πρόσθεσιν τοῦ ῑ μὴ ἐξαλλάσσειν τὸν τόνον· ὁ μέντοι Ἀρίσταρχος βαρυτόνως· φησὶ γοῦν „πεῖρε κέλευθον“. — β 434 —. εἰ γὰρ περιεσπᾶτο, ἦν ἂν ὁ παρατατικὸς ἐπεῖρα. ἔστιν οὖν διττὸν τὸ ῥῆμα· καὶ [3]) τὸ μὲν σὺν τῷ ῑ βαρύνεται, πείρω, τὸ δὲ χωρὶς τοῦ ῑ περισπᾶται.

L. Herod. Ω 8.

„πείρων“: Πάμφιλος περισπᾷ, λέγων τὴν πρόσθεσιν τοῦ ῑ μὴ ἐξαλλάσσειν τὸν τόνον. εἰ [1]) δὲ περῶ οἶδεν ὁ ποιητὴς τὸ ῥῆμα καὶ περόωσι — ζ 272 — καὶ „περάαν μέγα λαῖτμα“ — ε 174 —, δῆλον ὅτι καὶ πειρῶν. ὁ μέντοι Ἀρίσταρχος βαρύνων ἀναγινώσκει ὡς χείρων. φησὶ γοῦν οὕτω γενόμενος ἐπὶ τοῦ „παννυχίη μέν ῥ᾽ ἥ γε καὶ ἠῶ πεῖρε κέλευθον“ — β 434 — „τὸ [2]) πεῖρε διδάσκει ἡμᾶς καὶ τὴν πείρων μετοχὴν βαρύνειν. ὡς γὰρ ἔχειρε χείρων οὕτως ἔπειρε πείρων· εἰ γὰρ περιεσπᾶτο, ἦν ἂν ὁ παρατατικὸς ἐπεῖρα“. ἔστιν οὖν διττὸν τὸ ῥῆμα, καὶ [3]) τὸ μὲν σὺν τῷ ῑ οὐ περισπασθήσεται.

[1]) verba εἰ — πειρῶν, quae exstant in V cod., Gaisfordius in textum recipere debuit. [2]) verba τὸ — πείρων om. E. M. [3]) καὶ τὸ μὲν σὺν τῷ ῑ βαρύνεται, πείρω, τὸ δὲ χωρὶς τοῦ ῑ περισπᾶται sic E. M. — Ven. A. καὶ τὸ μὲν σὺν τῷ ῑ οὐ περισπασθήσεται. — cf. Eust. 1336, 24.

20.

E. M. 696, 50.

„Πύλαιος“ τὸ κύριον ὄνομα, προπαροξυτόνως, πρὸς ἀντιδιαστολὴν τοῦ τόπου [1]).

L. Herod. B 842.

„Πύλαιος“: τοῦ Πύλαιος τὴν πρώτην ὀξυτονητέον πρὸς ἀντιδιαστολὴν τοῦ τοπικοῦ καὶ τὸν Ἑρμῆν τὸν Πύλαιον.

[1]) „Rectius, opinor, τοῦ τοπικοῦ, localis nominis: quod est Πυλαῖος: unde ἡ Πυλαία σύνοδος pagina praecedenti v. 42“. Sylb. Hoc Venet. A. τοῦ τοπικοῦ confirmatur.

21.

E. M. 735, 33.

„συνήμοσύνας“: Ἰλιάδος χ΄ — 261 — συνθήκας. παρὰ τὸν ἥσω μέλλοντα. τὸ εἰς αὐτὸ ἀφικνεῖσθαι τὰ τῆς διανοίας.

L. Herod. X 261.

„συνήμοσύνας“: δασυντέον. σημαίνει δὲ τὰς συνθήκας ἀπὸ τοῦ εἰς ταὐτὸν ἀφεῖναι τὰ τῆς διανοίας. παρὰ τὸν ἥσω οὖν ἧμων τί ἐστι καὶ ἥμονος ἡ γενική (cf. Ψ 886), παρ᾽ ἣν τὸ ἡμοσύνη. οὕτως δὲ εἶχε καὶ μεθημοσύνη (N 108. 121).

Accuratius V: ἀπὸ τοῦ εἰς ταὐτὸν ἐφεῖναι (corr. ἀφεῖναι) τὰ τῆς διανοίας. παρὰ τὸ ἵημι ἥσω ἧμων καὶ συνήμων. ἡ γενικὴ ἥμονος, παρ᾽ ἣν τὸ ἡμοσύνη. — Orion p. 150, 24: ἀπὸ τοῦ εἰς ταὐτὸν ἀφεῖναι τὰ τῆς διανοίας. οὕτως Ἡρωδιανὸς ἐν τῇ Ὁμηρικῇ προσῳδίᾳ.

22.

E. M. 747, 20.

„ταρφειάς“: Ἀρίσταρχος ὀξύνει ως πυκνάς. ὁ δὲ Θρᾷξ Διονύσιος ὁμοίως τῷ ταχείας, παρὰ τὸ ταρφὺς ἀρσενικῶς [1], οὗ πολλαὶ ἦσαν χρήσεις· καὶ δῆλον ὅτι ἀναλόγως μὲν ἀναγινώσκει ὁ Θρᾷξ, ἐπεκράτησε δὲ ἡ Ἀριστάρχου ἀνάγνωσις [3].

L. Herod. M 158.

„ταρφειάς“: Ἀρίσταρχος ὀξύνει ὡς πυκνάς. ὁ δὲ Θρᾷξ Διονύσιος ὁμοίως προεφέρετο τῷ ταχείας, παρὰ τὸ ταρφὺς ἀρσενικόν [1], οὗ πολλαὶ ἦσαν χρήσεις παρὰ [1]) τοῖς παλαιοῖς καὶ παρ' Ὁμήρῳ. καὶ δῆλον ὅτι ἀναλόγως μὲν ἀναγινώσκει ὁ Θρᾷξ, ἐπεκράτησε δὲ ἡ Ἀριστάρχου.

cf. ad T 355. A 52. [1]) corr. ἀρσενικόν, ut in V. cod. et in Venet. A. [2]) παρά — Ὁμήρῳ om. E. M. [3]) ἀνάγνωσις deest in Venet. A.

23.

E. M. 782, 54.

„ὑπόκυκλα“: τινὲς ὑφ' ἓν ἀναγινώσκουσιν, ὡς ὑπότροχα.

L. Herod. Σ 375.

„χρύσεα δέ σφ' ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν“: τινὲς ὑπόκυκλα, ὡς ὑπότροχα· τὸ μέντοι ἐν τῇ Ὀδυσσείᾳ — δ 131 — „τάλαρόν θ' ὑπόκυκλον“ κατὰ σύνθεσιν ἀνεγνωσμένον ἑτέρου ἔχεται σημαινομένου.

24.

E. M. 786, 8.

„Ὑψιπέτης“: Ἀρίσταρχος ἐβάρυνε, εὑρὼν τὸ „ὠκυπέτα [Ζεύς]“ [1]). ὥσπερ καὶ ἀπὸ τοῦ παντοπώλης παντοπῶλα. τινὲς μὲν ἐτόλμησαν περισπᾶν τὸ ὑψιπετῆς, εὗροντες τὸ ὑψιπετήεις, ὡς τιμήεις τιμῆς. ἀλλ' ἐπὶ μὲν τοῦ τιμῆς εὕρομεν αἰτιατικὴν „καὶ χρυσὸν τιμῆντα“ — Σ 475 — ἐπὶ δὲ τοῦ προκειμένου οὐδὲν εὕρομεν τοιοῦτον· ὅθεν ἐπείσθημεν Ἀριστάρχῳ.

L. Herod. M 201.

Ἀρίσταρχος ἐβάρυνεν εὑρὼν τὸ „ὠκυπέτα χρυσέῃσιν ἐθείρῃσιν“ — Θ 42 — οὕτως κεκλιμένον ὡσεὶ καὶ ἀπὸ τοῦ παντοπώλης παντοπῶλα. πρόδηλον δὲ κἀκ τῶν διαλέκτων. ὑψιπέτας γὰρ εὑρέθη κατὰ τροπὴν τοῦ η εἰς τὸ ᾱ, ὅπερ ζητεῖ καὶ ἡ κλίσις καὶ ἡ βαρεῖα τάσις· τινὲς μέντοι ἐτόλμησαν ὡς τὸ „τιμῆς ἔσεται“ — I 605 — οὕτως ὑψιπετήεις ὑψιπετῆς. ἀλλ' ἐπὶ μὲν τοῦ τιμῆς εὕρομεν αἰτιατικὴν „καὶ χρυσὸν τιμῆντα“ — Σ 475 —, ἥτις ἐδίδασκε τὸ τῆς εὐθείας πάθος [2]). ἐπὶ δὲ τοῦ προκειμένου οὐδὲν εὕρομεν τοιοῦτο, ἔνθεν ἐπείσθημεν τῷ Ἀριστάρχῳ.

[1]) Ζεύς om. V., cuius loco ex Ven. A. redde E. M. χρυσέῃσιν ἐθείρῃσιν; reliqua ab οὕτως usque ad τάσις indidem revocare licet ad integritatem. [2]) haec in E. M. decurtata sunt. — Eust. 899, 53.

25.

E. M. 802, 3.

„φυλακοὺς λάθοι“: Ἰλιάδος ω' — 566 —. Ἀρίσταρχος ὀξύνει. τὰ γὰρ εἰς κος λήγοντα ὑπὲρ δύο συλλαβὰς παραλήγοντα τῷ ᾱ, ἐπιθετικὰ ὄντα, ὀξύνονται, παραδακός, φαρμακός.

L. Herod. Ω 566.

„φυλακούς“: Ἀρίσταρχος κατ' ὀξεῖαν τάσιν προεφέρετο ὡς φρουρούς. ἔστι δὲ καὶ ὁ λόγος συναγωνιζόμενος τῇ ὀξείᾳ τάσει οὕτως, ὡς τὰ εἰς κος καθαρὸν λήγοντα ὑπὲρ δύο συλλαβάς, παραληγόμενα τῷ ᾱ, προσηγορικὰ ἢ ἐπίθετα ὀξύνεται,

Non pauca interciderunt in E. M.

ἀνακός, φαρμακός, φυλακός. τὰ γὰρ κύρια βαρύνεται, Φύλακος, Αὔλακος.

26.

E. M. 802, 1.

„Φυλάκη“ πόλις Θεσσαλίας, βαρυτόνως, πρὸς ἀντιδιαστολὴν τοῦ δεσμοῦ.

cf. L. Herod. ad B 695.

L. Herod. O 335.

„Φυλάκη“ πόλις Θεσσαλίας, βαρυτόνως δὲ αναγνωστέον ὡς Ἰθάκη, ὡς πρὸς ἀντιδιαστολὴν τοῦ δεσμωτηρίου.

27.

E. M. 821, 25.

„ὠκυάλου“: ἐπὶ νηός. ἡ ἁλός γενική, ἐπὶ μὲν κυρίων συντιθεμένη, ψιλὸν ἀποφέρει τὸ πνεῦμα· οἷον Εὐρύαλος [1]. ἐπὶ δὲ ἐπιθέτου τὸ ἴδιον τηρεῖ πνεῦμα· „ἐν ἀμφιάλῳ Ἰθάκῃ“· ὕφαλος, πάραλος. εἰ οὖν καὶ τοῦτο ἐπίθετον ὄν, ὤφειλε δασύνεσθαι, εἴπερ ἦν σύνθετον. νῦν δὲ παραγωγὴν ἔλαβε, τῆς ἁλός κατὰ παρολκὴν κειμένης. διὸ ἐψίλωσαν τὸ ᾱ, παραγωγὴν ἐκδεξάμενοι, καὶ οὐ σύνθεσιν.

L. Herod. O 705.

„ὠκυάλου“: ἐψίλωσαν τὸ ᾱ, παραγωγὴν δεξάμενοι καὶ οὐ σύνθεσιν. καὶ οὕτως ἡ παράδοσις ἐπείσθη. καὶ τάχα ἐπεὶ μηδὲν ἄλλο ἢ τὸ ὠκὺ ἐκ τῆς λέξεως σημαίνεται· ἡ δὲ ἁλός γενικὴ ἐν τῇ συνθέσει ἐπὶ μὲν κυρίων ψιλὸν ἀποφέρεται τὸ πνεῦμα, Εὐρύαλος, Ἀμφίαλος, Ἀστύαλος [1]· ἐπὶ δὲ ἐπιτεθικῶν τὸ ἴδιον τηρεῖ πνεῦμα „πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ — α 395 — „ἀγχίαλόν τ' Ἀντρῶνα“ — B 697 —, ὕφαλος, ὥστε καὶ κατὰ τοῦτο ἐλέγχεται τὸ ὠκύαλος ψιλούμενον.

[1]) MV codd. addunt Ἀστύαλος, quod Gaisfordius collato Herodiani adnotamento in textum recipere debuit. — Sententiarum ordo in Etym. M. turbatus est.

III.

Sequuntur ii loci — numerus eorum longe maximus est — ubi Herodianus ex multis aliorum notis, quibus confusus erat, per me est exemptus et exsectus.

1.

E. M. 42, 38.

„ἄϊδρις“: . . . ἡ γενικὴ ἀΐδρεως, ὡς ὄφις ὄφεως. καὶ ἀΐδρεϊ καὶ ἀΐδρει. οὐ γὰρ δεῖ διὰ τοῦ δ̄. οὐ γάρ ἐστι παρώνυμον μακρᾷ παραληγόμενον. ὥστε ἁμάρτημα τὸ παρὰ τῇ Σαπφοῖ πολυΐδριδι, καὶ παρὰ Σοφοκλεῖ ἴδριδα, καὶ παρὰ Φρυνίχῳ ἴδριδες. οὕτως εὗρον σχόλιον ἐν ὑπομνήματι Ἰλιάδος . . . .

L. Herod. Γ 219.

„ἀΐδρεϊ φωτὶ ἐοικώς“: ἀΐδρεϊ προπαροξυτόνως ὡς ἀπ' εὐθείας τῆς ἄϊδρις. „χώρου ἄϊδρις ἐών“ — κ 282 —. ταύτης δὲ τῆς εὐθείας ὀφείλει γενικὴ ἐκπίπτειν ἀΐδρεος, καὶ ἀΐδρεϊ. οὐ γὰρ δή γε διὰ τοῦ δ̄. οὐ γάρ ἐστι παρώνυμον μακρᾷ παραληγόμενον· ἀλλ' ὡς τὸ ἔχις, πόσις, ὄφις, οὕτως ὀφείλει κλίνεσθαι. ὥστε ἐκ τοῦ ἐναντίου ἁμάρτημα τὸ παρὰ τῇ Σαπφοῖ, τὸ πολυΐδριδι, εἰ μὴ ἄρα ὁμοίως τοῖς Ἀττικοῖς ἐκλίθη. ὁ γὰρ Σοφοκλῆς ἴδριδα ἔφη τὴν αἰτιατικήν, ὅ τε Φρύνιχος τὴν εὐθεῖαν ἴδριδες· γένοιτο οὖν ἡ δοτικὴ

ἀΐδρεϊ φωτὶ ἐοικὼς κατὰ τὸν προκείμενον λόγον. οὐδὲν δὲ θαυμαστόν, εἰ διὰ τοῦ ῑ πολλάκις τῶν τοιούτων γενικῶν τὴν παραλήγουσαν προφέρονται Ἴωνες, τὴν δὲ δοτικὴν διὰ τοῦ ε̄, οὐχὶ δὲ διὰ τοῦ ῑ. τάχα γὰρ διὰ τὸ κακόφωνον. ὁ γοῦν ποιητή ϛφησιν „εὐνήν τ' αἰδομένη πόσιος" — π 75 —, τῇ δὲ δοτικῇ „χαριζομένη πόσεϊ ᾧ" — E 71 —.

In brevius contracta haec sunt ab E. M. cf. Eust. 407, 35, qui Herodorum citat fontem pro Herodiano.

2.

E. M. 62, 34.

„ἀλήϊον": . . . ἰστέον δὲ ὅτι οἱ μὲν ἐψίλωσαν αὐτὸ ἀπὸ τῆς ἄλης τοῦ Βελλεροφόντου, οἱ δὲ ἐδάσυναν ἀπὸ τοῦ τοὺς ἅλας ἐκεῖ πήγνυσθαι· βέλτιον δὲ τὸ πρῶτον[1]).

L. Herod. Z 201.

τὸ „ἀλήϊον" οἱ μὲν ἐψίλωσαν ἀπὸ τῆς ἄλης τοῦ Βελλεροφόντου, οἱ δὲ ἐδάσυναν ἀπὸ τοῦ τοὺς ἅλας ἐκεῖ πήγνυσθαι. βέλτιον δὲ τὸ πρότερον[1]).

[1]) πρῶτον Etym. — πρότερον Venet. A. — cf. Eust. 636, 49.

3.

E. M. 62, 59.

„ἀλήμεναι": „πάντας ἐπὶ πρύμνῃσιν ἀλήμεναι" — Σ 76 — . . . ὥσπερ παρὰ τὸ βῆναι γίνεται βήμεναι, οὕτως καὶ ἀπὸ τοῦ ἀλῆναι ἀλήμεναι. ψιλοῦται.

L. Herod. Σ 76.

„ἀλήμεναι": ὡς παρὰ τὸ βῆναι βήμεναι ἐγένετο, οὕτως καὶ παρὰ τὸ ἀλῆναι ἀλήμεναι. „λαοὺς ἐς τεῖχος ὁμοκλήσειεν ἀλῆναι" — Π 714 —. ψιλοῦται δὲ καὶ τὸ ἑάλη — N 408 — καὶ πᾶς ὁ σχηματισμός, ἐπεὶ καὶ τὸ θέμα αὐτῶν ἐψιλοῦτο. (cf. Λ 192.)

4.

E. M. 79, 36.

„ἁματροχιά": . . . ὀξύνεται ὡς φυταλιά καὶ δασύνεται ἡ ἄρχουσα.

L. Herod. Ψ 422.

„ἁματροχιάς": δασέως τὴν ἄρχουσαν. ὀξύνεται δὲ ὁμοίως τῷ φυταλιάς.

Quae antecedunt in E. M. ἐκ τῶν Ἡρωδιανοῦ περὶ ὀρθογραφίας fluxerunt v. Lentzium II, 474, 13.

5.

E. M. 81, 16.

„ἀμβωμαῖσι" . . . Χρύσιππος ὑφ' ἓν προφέρει· ὁ μέντοι Ἀρίσταρχος β' μέρη λόγου[1]) καὶ προπερισπᾷ. λέγει γοῦν καὶ ἀλλαχοῦ „χρύσειοι δ' ἄρα κοῦροι ἐϋδμήτων ἐπὶ βωμῶν". — η 100 — χρὴ γινώσκειν ὅτι διὰ τοῦ μ γράφει[3]), κἂν παράθεσις ᾖ, ὁμοίως τῷ „ἂμ φόνον ἂν νέκυας" — K 298 —.

L. Herod. Θ 441.

„ἀμβωμοῖσι" Χρύσιππος ὑφ' ἓν προφέρεται· ὁ μέντοι Ἀρίσταρχος δύο μέρη λόγου παραλαμβάνει[1]) καὶ προπερισπᾷ. λέγει γοῦν καὶ ἀλλαχοῦ „χρύσειοι δ' ἄρα κοῦροι ἐϋδμήτων ἐπὶ βωμῶν" — η 100 —. χρὴ μέντοι[2]) γινώσκειν ὅτι διὰ τοῦ μ γράφεται[3]), κἂν παράθεσις ᾖ, ὁμοίως τῷ „ἂμ φόνον, ἂν νέκυας" — K 298 —. τὸ δὲ αἴτιον ἐν τοῖς περὶ ὀρθογραφίας εἴρηται.

[1]) Sylb.: „cum elliptico isto commatio, Ἀρίσταρχος δύο μέρη λόγου, subaudiendum φησί aut simile quid"; deest παραλαμβάνει. [2]) μέντοι non est in Etym. [3]) γράφει Etym. γράφεται Venet. A.

6.

E. M. 140, 42.

„ἀρητός“: . . . ὀξύνεται. τὰ γὰρ εἰς τος ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς τῷ η παραληγόμενα ὀξύνεσθαι θέλει.

cf. Eust. 1474, 44.

L. Herod. P 37.

„ἀρητόν“: τὰ εἰς τος ῥηματικά, παραληγόμενα τῷ η, ὑπὲρ δύο συλλαβάς, ὀξύνεσθαι θέλει.

7.

E. M. 190, 34.

„βάσκ' ἴθι“ τινὲς ὡς ἄπιθι, καὶ οὐχὶ ἐν παραθέσει. ἀλλὰ κανὼν ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς μι λήγοντα μετὰ προθέσεων φιλοῦσι συντίθεσθαι, μέτειμι σύνειμι· μετ' ἄλλων δὲ λέξεων οὐδέποτε. τὸ οὖν ἴθι ἀπὸ τοῦ εἶμι· καὶ ἄλλως· τὰ εἰς θι παραχθέντα προστακτικὰ κατ' ἀρχὴν οὐ συντίθενται, πλὴν τῶν προθέσεων. ὥστε δῆλον ὅτι ἐν παραθέσει δεῖ αὐτὸ ἀναγινώσκειν . . . .

L. Herod. B 8.

„βάσκ' ἴθι“: Τυραννίων ὑφ' ἓν ὡς ἄπιθι. παραιτητέον δέ. τὰ γὰρ εἰς μι λήγοντα μετὰ προθέσεως φιλεῖ συντίθεσθαι, μετ' ἄλλων δὲ λέξεων οὐκέτι. καὶ πάλιν τὰ διὰ τοῦ κ παραχθέντα κατ' ἀρχὴν οὐ θέλει συντίθεσθαι. καὶ ἄμεινον ταυτολογίαν εἶναι, ἐμφαίνουσαν τὴν ἔπειξιν. καὶ ἀλλαχοῦ „ἔλθοι καὶ ἵκοιτο“, „ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν“.

cf. E. Gud. 105, 40. — Cramer. Anecd. T. I p. 89, 11. Eust. 165, 37.

8.

E. M. 248, 43.

„Δάρης“: παρὰ τὸ δείρω καὶ ἐκδέρω γίνεται δέρης καὶ τροπῇ Δάρης. εἰκὸς γάρ, ὡς ἱερεύς, ἔσχε καὶ τὸ ὄνομα παρὰ τὸ ἐκδέρειν τὰ θύη. ἢ παρὰ τὸ δαίω τὸ καίω, δάης, καὶ πλεονασμῷ τοῦ ρ Δάρης . . . . .

L. Herod. E 9.

„Δάρης“: . . . . . . γέγονε δὲ τὸ Δάρης ἤτοι παρὰ τὸ δείρω καὶ ἐκδείρω (ἐοικὸς γὰρ ἱερεῖ), καὶ ἐχρῆν γε αὐτὸ εἶναι Δέρης ὡς Φέρης. ἐτράπη οὖν τὸ ε εἰς α. ἢ παρὰ τὸ δαίω τὸ καίω ἐν πλεονασμῷ τοῦ ρ.

9.

E. M. 272, 51.

. . . „διδοῦσι“ περισπωμένως, ἐκ τοῦ διδόω διδῶ.

L. Herod. B 255.

„διδοῦσιν“: οὕτως περισπωμένως τὸ διδοῦσιν· τὸ γὰρ ῥῆμα διδῶ.

10.

E. M. 273, 14.

„δίεσθαι“: ἡ παράδοσις προπαροξύνει . . . .

cf. etiam L. Herod. ad Ψ 475.

L. Herod. M 276.

τὸ „δίεσθαι“ ἡ παράδοσις προπαροξύνει . . . .

11.

E. M. 289, 24.

„ἐν δοιῇ“ . . . περισπᾶται· δοτικὴ γάρ· ἀκολουθεῖ εὐθείᾳ τῇ δοιός.

cf. Crameri Anecd. I, 108, 27.

L. Herod. I 230.

„ἐν δοιῇ“: περισπαστέον· δοτικὴ γὰρ ἀκόλουθος εὐθείᾳ τῇ δοιός, οὐ τὸ θηλυκὸν δοιή.

12.

E. M. 308, 11.

„ἔασκεν“: . . . τὸ ᾱ κατὰ συστολήν· τὰ γὰρ διὰ τοῦ σκω παρηγμένα Ἰωνικὰ βραχεῖαν ἔχει τὴν παραλήγουσαν.

L. Herod. B 832.

οὕτως τὸ ᾱ τοῦ „ἔασκε“ κατὰ συστολήν· οὕτως καὶ πάντες. τὰ γὰρ διὰ τοῦ σκε παρηγμένα Ἰακῶς βραχεῖαν ἔχει τὴν παραλήγουσαν. „ὧδε δέ τις εἴπεσκε“ — 271 — καὶ „τὴν αὐτὸς φορέεσκε“ — O 646 —.

13.

E. M. 312, 41.

„ἐγρήγορθαι“: . . . . ὤφειλε παροξύνεσθαι [1], εἴτε συγκοπή ἐστι τοῦ ἐγρηγορέναι, εἴτε ἀπὸ τοῦ ἐγείρω· ὅτι τὰ εἰς θαι ἀπαρέμφατα, ἔχοντα πρὸ τοῦ θῆτα ἀμετάβολον, παροξύνονται, κεχάρθαι, τετίλθαι, ἐσπάρθαι. ἀλλ' ἐπεὶ τὰ παραλήγοντα τῇ ορ συλλαβῇ Αἰολικά εἰσιν, ὡς ἔφθορθαι, μέμορθαι, τέτορθαι προπαροξύνονται. ὅθεν ἡ παραλήγουσα Αἰολικωτέρα ἐστί, καὶ ὁ τόνος ὁμοίως.

L. Herod. K 67.

„ἐγρήγορθαι“: τὸ ἐγρήγορθαι ἀνέγνωμεν προπαροξύνοντες, οὐκ ἐχρῆν δέ. εἴτε γὰρ συγκοπή ἐστι τοῦ ἐγρηγορέναι, εἴτε παθητικός, ὀφείλει παροξύνεσθαι, καθότι τὰ εἰς θαι λήγοντα ἀπαρέμφατα, ἔχοντα πρὸ τοῦ θ ἀμετάβολον, παροξύνεται, κεχάρθαι, τετίλθαι, ἐσπάρθαι. μίαν [2] μέντοι ἀφορμὴν ὁρῶ τοῦ δύνασθαι προπαροξύνεσθαι τὸ ἐγρήγορθαι, τὸ τὰ εἰς θαι λήγοντα, τῇ ορ συλλαβῇ παραληγόμενα, μὴ παρ' ἄλλῃ τινὶ διαλέκτῳ ὁρᾶσθαι, ἢ τῇ Αἰολίδι, τέτορθαι, μέμορθαι, ἔφθορθαι· ὅθεν ἐπεὶ ἡ παράληξις Αἰολικωτέρα ἐγένετο, καὶ ὁ τόνος ὁμοίως τοῖς προκειμένοις.

[1] „παροξύνεσθαι legendum esse, non (ut in vulg. est) προπαροξύνεσθαι, manifestum est ex seq. v. 44“. Sylb. [2] Haec verba habet cod. V. atque Gaisfordius, si Venet. A. comparavisset, ea in textum recipere debuit. cf. Eust. 790, 2. Sylburgii coniectura τετάρθαι pro τέτορθαι levis videtur.

14.

E. M. 124, 8.

„ἀπὸ ἕθεν“: ἐπὶ τῆς ἕθεν φασίν, εἰ μὲν εἰς ἁπλοῦν μεταλαμβάνοιτο, ἐγκλιτικῶς ἀναγινώσκειν δεῖ· εἰ δὲ εἰς σύνθετον, ὀρθοτονητέον. „οὕς ἑθεν εἵνεκ' ἔπασχον“ — Γ 128 — „ἐπεὶ οὔ ἑθέν ἐστι χερείων“ — A 114 —. ὀξύνεται γὰρ ἡ οὐ ἀπόφασις εἰς ἁπλῆν μετάληψιν ἀντωνυμίας. ἐὰν γὰρ ὀρθοτονήσωμεν, ἔσται σύνθετος· οὕτως οἷον „σέθεν εἵνεκα“ — Π 539 — καὶ ἐκεῖνα κατ' ὀρθὴν τάσιν· „ἀπὸ ἕθεν ὤσατο“ — Z 62 —. ὅθεν ὁ Σιδώνιος μέμφεται Ἀριστάρχῳ, μὴ ἐγκλιτικῶς ἀναγνόντι τὸ „πρόσθεν ἕθεν φεύγοντα“ — E 80 — ἡ γὰρ διάνοια ἁπλῆν αἰτεῖ τὴν μετάληψιν. . . . . .

L. Herod. Γ 128.

„οὕς ἑθεν“: ἐγκλιτικῶς ἀνεγνώσθη διὰ τὸ μεταλαμβανόμενον, ἐπεὶ εἰς ἁπλῆν ἡ μετάληψις, οὓς αὐτῆς. τοῦτο δὲ ἐπὶ τῆς ἕθεν φασίν, ὅτι εἰ μὲν εἰς ἁπλῆν μεταλαμβάνοιτο, ἐγκλιτικῶς ἀναγινώσκειν δεῖ, εἰ δὲ εἰς σύνθετον, ὀρθοτονητέον. διὸ κἀκεῖνα οὕτως ἀνεγνώσθη „ἐπεὶ οὔ ἑθέν ἐστι χερείων“ — A 114 — „οἵ ἑθεν ὀτρύνοντος“ — O 199 —. ἐκεῖνο δὲ κατ' ὀρθὴν τάσιν „ἀπὸ ἕθεν ὤσατο χειρί“ — Z 62 —. ὅθεν Σιδώνιος μέμφεται Ἀριστάρχῳ μὴ ἐγκλιτικῶς ἀναγνόντι τὸ „πρόσθεν ἕθεν φεύγοντα“ — E 80 —. ἡ γὰρ διάνοια ἁπλῆν αἰτεῖ τὴν μετάληψιν.

15.

E. M. 296, 25.

„ἵνα εἴδομεν ἄμφω“ — A 363 — . . . ἡ [δὲ] συστολὴ ἀνέδωκε τὸν τόνον. οὐ γὰρ παροξύνεται κατὰ τὸν Πάμφιλον.

cf. Choeroboscum in Theodos. 797, 31.

L. Herod. A 363.

„εἴδομεν“: προπαροξύνεται τὸ εἴδομεν, ἀπὸ βαρυτόνου τοῦ εἴδω. οὐ θαῦμα δέ, εἰ τὸ αὐτὸ καὶ ὡς βαρύτονον καὶ ὡς περισπώμενον κλίνει. ἢ ὅτι ἀνθ' ὑποτακτικοῦ ἐστι, καὶ ἡ συστολὴ ἀνέδωκε τὸν τόνον· οὐ γὰρ παροξύνομεν κατὰ τὸν Πάμφιλον.

16.

E. M. 302, 7.

„εἰνάνυχες“ . . . . ὡς μονώνυχες· ἀπὸ εὐθείας τῆς εἰνάνυξ . . .

L. Herod. I 470.

„εἰνάνυχες“ ὡς μονώνυχες, ἀπ' εὐθείας τῆς εἰνάνυξ.

17.

E. M. 304, 12.

„εἴρυτο“: Ἀρίσταρχος προπαροξυτόνως. πάνυ γὰρ ὑγιῶς, ὡς τὸ ἐζεύγνυτο, οὕτως καὶ τοῦτο. ὁ μέντοι Τυραννίων προπερισπᾷ, ἀπὸ τοῦ εἴρυμι εἰρῦτο. Ἰλιάδος θ' „ἀνὴρ δ' οὔτι Διὸς νόον εἰρύσαιτο“ — 143 — . . . . . .

L. Herod. Π 542.

„εἴρυτο“. Ἀρίσταρχος τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν ποιεῖ, ὑγιῶς πάνυ. ὁ δὲ Τυραννίων προπερισπᾷ, ἐκ τοῦ εἰρύετο φάσκων αὐτὸ συνηλεῖφθαι. δύναται δὲ τὸ εἴρυτο κλιθὲν ἀπὸ τῶν εἰς μι ὁμοίως τῷ ἐζεύγνυτο, ἤνυτο, „θοῶς δέ οἱ ἤνυτο ἔργον“ — ε 243 — ἐκτετάσθαι. οὕτως ἀξιοῦμεν καὶ ἐπὶ τοῦ εἴλυτο — M 286 — καὶ εἴρυτο — Δ 138 —.

18.

E. M. 329, 57.

. . . . ἐλθέ, εἰπέ, εὑρέ· τρία εἰσὶ σεσημειωμένα ὀξυτονούμενα, καὶ ἴσως[1]) ὡς μακρᾷ παραληγόμενα . . . . .

[1]) corr. ἰδίως ut in Venet. A.

L. Herod. A 85.

„εἰπέ“: τρία εἰσὶ τὰ ἐν τῇ κοινῇ ὀξυνόμενα, ἐλθέ, εὑρέ, εἰπέ· ἰδίως[1]) δὲ καὶ μακρᾷ παραλήγοντα. Ἀττικοὶ δὲ καὶ ἐπὶ τῶν βραχυπαραλήκτων ὀξύνουσι τὸ ἰδέ καὶ λαβέ.

19.

E. M. 343, 10.

„ἔνισπες“ . . . . τὸ μέντοι προστακτικὸν παροξύνεται, ἐνίσπες, ὡς ἐπίσχες, ἐπίθες. τὸ δὲ ἄνευ τοῦ σ προστακτικὸν προπαροξύτονον, ἔνισπε, ἀκολουθεῖ τῷ ὁριστικῷ·

L. Herod. Ω 388.

„ἔνισπες“: ὡς ἔδραμες. ἔστι γὰρ ὁριστικὸν ἐκ τοῦ ἤνισπες τὴν ἄρχουσαν συστείλαντος. τὸ μέντοι προστακτικὸν πρὸ τέλους ἔχει τὴν ὀξεῖαν „οὐ δ' ἀληθὲς ἐνίσπες“ — γ 247 — ὁμοίως τῷ ἐπίσχες. καὶ δῆλον ὅτι ὅπου μὲν τὸ ι ἐστὶ τῆς προθέσεως, ὅπου δὲ τοῦ ῥήματος. τὸ μέντοι ἄνευ τοῦ σ προστακτικὸν προπαροξύνεται. λέγω δὲ τὸ „νημερτές μοι ἔνισπε“ — δ 642 —.

20.

E. M. 343, 52.

. . . . ἐχρῆν (τὸ ἐννῆμάρ) προπαροξύνεσθαι, ὡς παρ' οὐδετέρου [1]) συγκείμενον. ἀλλ' ἐπειδὴ [2]) ὁ τόνος παρηλλάγη, ἐπεὶ καὶ ξένη ἡ σύνθεσις· οὐδὲν γὰρ τῶν εἰς αρ συντεθέντων οὐδετέρων προπαροξύνεται, διὰ τοῦτο (προ)περισπᾶται.

L. Herod. A 58.

ἐχρῆν τὸ „ἐννῆμαρ" προπαροξύνειν, ὡς παρ' οὐδέτερον [1]) συγκείμενον. ἀλλ' ὁ τόνος παρηλλάγη, ἐπεὶ καὶ ξένη ἡ σύνθεσις· οὐδὲν γὰρ τῶν εἰς αρ συνετέθη οὐδετέρων.

[1]) corr. Sylburgius pro cod. παρ' οὐδενός. Sic παρ' οὐδετέρου habet etiam Et. Gud. 190, 36; Venet. A παρ' οὐδέτερον. [2]) deleatur ἐπειδή in E. M.

21.

E. M. 363, 33.

„ἐπιπτέσθαι": Ἰλιάδος δ' — 126 — . . . τὸ ἁπλοῦν πτέσθαι καὶ ἐπιπτέσθαι. πᾶν δὲ ἀπαρέμφατον φυλάσσει τὸν αὐτὸν τόνον . . . .

L. Herod. Δ 126.

„ἐπιπτέσθαι": παροξυτονητέον. ἔστι γὰρ μέσος δεύτερος ἀόριστος, ὁμοίως τῷ „τότ' ἂν οὔ τοι ἀποσχέσθαι" — ι 211 — καὶ τὸ ἁπλοῦν αὐτοῦ ἐστι πτέσθαι. πᾶν δὲ ἀπαρέμφατον συντιθέμενον φυλάσσει τὸν αὐτὸν τόνον.

22.

E. M. 365, 14.

„ἐπισχερώ": . . . καὶ σεσημείωται ὀξυτόνως ὥσπερ ἰώ. οὐδὲν γὰρ τῶν εἰς ω ληγόντων ἐπιρρημάτων ὀξύνεσθαι θέλει . . . . .

cf. Eust. 877, 7.

L. Herod. Σ 68.

„ἐπισχερώ": ὀξύνεται καὶ σεσημείωται, ὥσπερ καὶ τὸ ἰώ. οὐδὲν γὰρ εἰς ω λῆγον ἐπίρρημα θέλει ὀξύνεσθαι.

23.

E. M. 379, 20.

„ἐρύγμηλος": τὰ διὰ τοῦ ηλος ὑπὲρ δύο συλλαβὰς προσηγορικὰ ἢ κύρια προπαροξύνονται. οἷον κάμηλος, φάσηλος. τὰ μέντοι ἐπιθετικὰ ὀξύνονται, ὅτε ἔχει παρασχηματισμὸν θηλυκοῦ. οἷον σιγηλός, ὑψηλός. μὴ οὕτω δὲ ἔχοντα βαρύνεται, βέβηλος, κίβδηλος, κάπηλος, ἐρύγμηλος [3]). γέγονε παρὰ τὸ ἐρύγω, ἐρυγηλός τις ὤν· καὶ πλεονασμῷ τοῦ μ, ὅθεν „ἤρογεν ἑλκόμενος" — Υ 404 — . . . . [5]).

L. Herod. Σ 580.

„ἐρύγμηλον": ὡς βέβηλον· τὰ γὰρ διὰ τοῦ ηλος ὑπὲρ δύο συλλαβὰς προσηγορικὰ ἢ κύρια προπαροξύνεσθαι θέλει, κάμηλος καὶ φάσηλος, Στύμφηλος [1]). τὰ μέντοι ἐπιθετικὰ ὀξύνεσθαι μὲν θέλει, ὅτε παρασχηματισμὸν ἔχει θηλυκοῦ, σιγηλός, ὑψηλός, ἀπατηλός [2]), μὴ οὕτως δὲ ἔχοντα βαρύνεσθαι, βέβηλος, κίβδηλος, κάπηλος. εἰ [4]) δὴ καὶ τὸ ἐρύγμηλος οὐκ ἔχει θηλυκόν, δῆλον ὅτι ὑγιῶς βαρυτονηθήσεται καὶ οὐ δεόντως αὐτὸ Τυραννίων ὀξύνει. ἐγένετο δὲ παρὰ τὸ ἐρύγω, ἔνθεν παρατατικὸς „ἤρυγεν ἑλκόμενος Ἑλικώνιον" — Υ 404 — ἐρύγηλος, καὶ ἐν πλεονασμῷ τοῦ μ ἐρύγμηλος [5]).

[1]) Στύμφηλος om. E. M., item [2]) ἀπατηλός. [3]) ἐρύγμηλος delendum est. [4]) verba: εἰ — ὀξύνει desunt in E. M. [5]) verborum ordo turbatus est in E. M.

24.

E. M. 392, 24.

„εὐκλεῖας". Ἰλιάδος χ' — 281 — . . . . . . ἢ ἀπὸ τοῦ εὐκλέας ἐπενθέσει τοῦ ι.

cf. Eust. 1911, 63.

L. Herod. K 281.

„εὐκλεῖας": προπερισπαστέον. ἐκ γὰρ τοῦ εὐκλέας ἐγένετο κατ' ἐπένθεσιν τοῦ ι. λέγει γὰρ δὸς ἡμᾶς εὐκλεεῖς καὶ ἐνδόξους· οἱ δὲ ἐκτείνοντες ἄνευ λόγου ἐκτείνουσιν.

25.

E. M. 392, 48.

„εὐλαί": . . . . . ἢ παρὰ τὸν αὐλόν, ὃ σημαίνει τὸ ἐπίμηκες, αὐλαί καὶ εὐλαί. τὰ εἰς λη λήγοντα θηλυκὰ διφθόγγῳ παραληγόμενα, εἰ μὴ ἔχει ἔννοιαν συντέθου, ὡς τὸ δείλη, ὀξύνεται. τὸ μέντοι οὔλη βαρύνεται πρὸς ἀντιδιαστολὴν τοῦ οὐλή μονογενοῦς.

cf. Eust. 1169, 35.

L. Herod. T 26

„εὐλάς": ὡς αὐλάς. εὐλή γὰρ ὡς αὐλή· τὰ γὰρ εἰς λη λήγοντα θηλυκὰ μονογενῆ, διφθόγγῳ παραληγόμενα, ὀξύνεσθαι θέλει, εἰ μὴ ἔχοι ἔννοιαν συνθέσεως. „οὐλὴν μὲν πρῶτον" — ω 331 —, αὐλή, ἀπειλή, ὠτειλή. οὕτως καὶ εὐλή. τὸ μέντοι „ἑτέρῃ δ' ἔχεν οὔλας" — γ 441 —, λέγω δὲ ἐπὶ τῶν κριθῶν, ἴσως βεβαρυτόνηται μονογενὲς ὂν πρὸς μονογενὲς ὀξυνόμενον τὸ οὐλή. προσέθηκα δὲ εἰ μὴ ἔχοι ἔννοιαν συνθέσεως διὰ τὸ δείλη βαρυνόμενον. ἐτυμολογεῖται γὰρ παρὰ τὸ ἐνδεῖν τῇ ἕλῃ δεέλη.

26.

E. M. 408, 23.

„ζάφελος": . . . . καὶ τὸ μὲν ζάφελος βαρύνεται· ἐπειδὴ τὰ εἰς ος λήγοντα συγκείμενα παρὰ τὸ ζα προπαροξύνεται, ζάκοτος, ζάθεος. τὸ δὲ ζαφελῶς περισπᾶται. τὰ γὰρ διὰ τοῦ λως ἐπιρρήματα, παραληγόμενα τῷ ε, ὡς ἐπὶ τὸ πλεῖστον φιλεῖ περισπᾶσθαι, ἐντελῶς, ἐπιμελῶς. πρόσκειται ως ἐπὶ τὸ πλεῖστον διὰ τὸ εὐτραπέλως, ἰκέλως.

L. Herod. I 516.

„ἐπιζαφελῶς": ὡς χαλεπῶς. παρέλκει δὲ πάλιν ἡ ἐπί. ἐχρῆν δέ, ἐπεὶ παρὰ τὸ ζάφελος γέγονε, καὶ ζαφέλως ἡμᾶς ἀνεγνωκέναι βαρυτόνως, ἢ καὶ ἐκεῖνο κατ' ὀξὺν προφέρεσθαι τόνον. ἀλλὰ μήποτε τὸ μὲν ζάφελος προπαροξύνεται λόγῳ τούτῳ, ὡς τὰ εἰς ος λήγοντα συγκείμενα παρὰ τὸ ζα προπαροξύνεται, ζάθεος, ζάκοτος. οὕτως ζάφελος. τὸ δὲ ζαφελῶς περισπᾶται, ἐπεὶ τὰ διὰ τοῦ λως ἐπιρρήματα, παραληγόμενα τῷ ε, ὡς ἐπὶ τὸ πλεῖστον φιλεῖ περισπᾶσθαι, ἐντελῶς, ἐπιμελῶς, οἷς [1]) καὶ τὸ ζαφελῶς συνεξέδραμε. πρόσκειται ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ εὐτραπέλως, ἰκέλως.

[1]) Verba οἷς — συνεξέδραμε om. Etym. M., leguntur in Etym. Gud. 228, 48. Eust. 769, 27.

27.

E. M. 413, 30.

„ζώς": ἀξιοῖ ὁ Ἀσκαλωνίτης περισπᾶσθαι, οὐχ ὑγιῶς. μόνον γάρ ἐστι τὸ σῶς περισπώμενον μονοσύλλαβον ἀρσενικὸν εἰς ως λῆγον, εἴτε ἀπὸ

L. Herod. E 887.

„ζωός": τὸ ζώς ὁ Ἀσκαλωνίτης ἀξιοῖ περισπᾶν, οὐχ ὑγιῶς. μόνον γὰρ τὸ σῶς ἐστι περισπώμενον μονοσύλλαβον εἰς ως λῆγον ἀρσενικόν, γεγονὸς ἢ

τοῦ σῶος ἢ ἀπὸ τοῦ σάος, ὅπερ ἄμεινον· εἰ δὲ ἐκ τοῦ ζωός ἀξιοῖ αὐτὸ περισπᾶσθαι, ἴστω ὅτι τὰ ἐξ ὀξείας καὶ βαρείας πάλιν βαρύνονται. εἰ μέντοι κλίνει αὐτό, ἰσοσύλλαβον εὑρεθήσεται ......

ἐκ τοῦ σόος, ὡς[1]) οἴεται Φιλόξενος, ἢ ἐκ τοῦ σάος, ὅπερ κρεῖττον· εἰ δὲ ὁ Ἀσκαλωνίτης περισπώμενον ἀξιοῖ αὐτὸ ἐκ τοῦ ζωός, ἴστω ὅτι τὸ μὲν προκείμενον βαρύτονον ἦν, ἔνθεν περιεσπᾶτο τὸ σῶς· τὸ δὲ ζώς ἐξ ὀξυνομένου, ὥς φησι, τοῦ ζωός γενόμενον δεῖ ὀξύνειν, ἐγκλίνειν δὲ ἐν ταύτῃ τῇ ἀναγνώσει. ἡ μέντοι κλίσις αὐτοῦ ἰσοσύλλαβος εὑρέθη.

[1]) ὡς — Φιλόξενος om. Etym. et sequentia paullulum contraxit.

28.

E. M. 469, 52.

„ὥς ῥα σύ, ἤϊε Φοῖβε". — O 365 — . . . . Ἀρίσταρχος δασύνει· ἐπεὶ παρὰ τὸ ἵημι ἐγένετο. ἀπὸ γὰρ τῆς ἱέσεως τῶν βελῶν ἐκλήθη ἥϊος. οἱ δὲ ψιλοῦσιν, ἀπὸ τῆς ἰάσεως. ἄμεινον δὲ ψιλοῦσθαι. τὸ γὰρ η πρὸ φωνήεντος ψιλοῦται . . . .

L. Herod. O 365.

„ἤϊε": Ἀρίσταρχος δασύνει, ἀπὸ τῆς ἕσεως τῶν βελῶν. οἱ δὲ περὶ τὸν Κράτητα ψιλῶς, ἀπὸ τῆς ἰάσεως. καὶ οὕτως ἐπείσθησαν οἱ γραμματικοὶ πρὸς διάφορον ἐτυμολογίαν διαφόρως ἀναγινώσκειν. ἀγνοοῦσι δὲ ὅτι ὁ χαρακτὴρ μάχεται· ἀεὶ γὰρ τὸ η πρὸ φωνήεντος ψιλοῦται, ἠώς, ἤϊα. ταύτῃ καὶ τὸ „ἧτε ξείνων θέμις ἐστί" — ι 268 — δασύνεται, τὸ δὲ ἠΰτε ψιλοῦται. καὶ τὸ ἕως δασύνεται, τὸ δὲ ἠώς ψιλοῦται. καὶ τὸ ἥλιος δασύνεται, τὸ δὲ ἠέλιος ἐψιλώθη. ὥστε εἴτε ἐκ τοῦ ἥϊος δασυνομένου ἐστὶν εἴτε ἐκ τοῦ ψιλουμένου, μόνως ψιλωτέον.

Herodiani adnotamentum valde decurtatum est. — Lentzius II, 185 hanc Et. notam e libro περὶ παθῶν fluxisse putat, sed quod ad verbum conspirat cum scholio ad O 365, hoc loco non omittendam esse arbitratus sum.

29.

E. M. 436, 54.

„ὑπὸ δ' ἧρεον" . . . ἀπὸ τοῦ περισπωμένου καὶ δασύνεται.

cf. L. Herod. ad Ω 579.

L. Herod. B 154.

„ἧρεον": δασυντέον τὸ ἧρεον. ἀπὸ γὰρ τοῦ αἱρῶ περισπωμένου καὶ δασυνομένου γέγονεν.

30.

E. M. 467, 23.

. . . . ψιλοῦται τὸ ιεν, καὶ ἐνικῶς, ἐπὶ τοῦ ὕδατος· εἰ δὲ δασύνεται, ἀντὶ τοῦ ἵεσαν. τινὲς δὲ οὕτω φέρουσι τὴν γραφὴν τοῦ ιεν, ὡς τίθεν. καὶ γίνεται ἀμφίβολον, πότερον αὐτοὶ οἱ ποταμοὶ ἵεν, ἵνα ἐκ[1]) τοῦ ἵεσαν συγκοπῇ ὑπάρχῃ, ὡς ἀπὸ τοῦ ἐτίθεσαν τὸ ἔτιθεν. καὶ δέον δασύνεσθαι. εἰ δὲ ἑνικὸν εἴη τὸ ιεν ἀντὶ τοῦ ἐπορεύετο, ψιλοῦται, ὁμοίως τῷ „ἄσσον ἴεν" — ω 221 —.

L. Herod. M 33.

„ἵεν". οὕτως φέρουσι τὴν γραφήν, ιεν ὡς τίθεν· καὶ γίνεται ἀμφίβολον, πότερον αὐτοὶ οἱ ποταμοὶ ἵεν, ἵνα τοῦ ἵεσαν συγκοπὴ ὑπάρχῃ, ὡς ἀπὸ τοῦ ἐτίθεσαν τὸ ἔτιθεν· καὶ δέον δασύνειν. εἰ δὲ ἑνικὸν εἴη τὸ ιεν ἀντὶ τοῦ ἐπορεύετο, ψιλωτέον, ὁμοίως τῷ „ἄσσον ἴεν πολυκάρπου ἀλωῆς" — ω 221 — ὅπερ οὐ πιθανόν· ἡ μέντοι κοινὴ ἴει ἐστὶν ὁμοίως τῷ „ἐννῆμαρ δ' ἐς τεῖχος ἵει ῥόος"

— 25 —. καὶ μήποτε εἴη πιθανώτερον. πάντα γὰρ ὁρᾶται τὰ παρακείμενα ἑνικῶς τεθειμένα· „τεῖχος ἀμαλδύνας, ποταμοὺς δ' ἔστρεψε νέεσθαι“.

[1] deest in Venet. A.

31.

E. M. 480, 49.

„Ἴχνιον“: . . . . προπαροξύνεται ὡς τὸ ἀράχνιον. οὐ γάρ ἐστιν ὑποκοριστικόν, ἀλλ' ἀπὸ ῥήματος ἐσχημάτισται.

L. Herod. N 71.

„ἴχνια“: τὸ ἴχνιον προπαροξυτονητέον, ὁμοιοτόνως τῷ ἀράχνιον· οὐ γάρ ἐστιν ὑποκοριστικόν, ἀλλ' ἀπὸ ῥήματος ἐσχημάτισται. ὅτι δὲ ὁ ποιητὴς οὐδὲ ὑποκοριστικοῖς χρῆται, ἐδηλώσαμεν ἐν τῇ Α.

32.

E. M. 483, 43.

„ἔνθα καθεῦδ' ἀναβάς“. ἀντὶ τοῦ ἐκοιμᾶτο. τὰ ἀπὸ φύσει μακρᾶς ἀρχόμενα ῥήματα κατὰ τοὺς παρῳχημένους χρόνους ἐν τοῖς [1]) ὁριστικοῖς, ἀπαθῆ ὄντα, φυλάττει τὸν τόνον ἐν τῇ συνθέσει· οἷον εἶχον κατεῖχον· εὗδε καθεῦδε . . . . . .

[1]) deest in Venet. A. cf. Eust. 162, 38.

L. Herod. A 611.

„ἔνθα καθεῦδ' ἀναβάς“: τὸ καθεῦδε προπερισπᾶται, ὅτι τὰ ἀπὸ φύσει μακρᾶς ἀρχόμενα ῥήματα κατὰ τοὺς παρῳχημένους χρόνους ἐν ὁριστικοῖς, ἀπαθῆ ὄντα, φυλάσσει τὸν τόνον ἐν τῇ συνθέσει, εἶχον κατεῖχον. ὅθεν εἰ „εὗδε δ' ἀνακλινθεῖσα“ — δ 794 —, δῆλον ὅτι καθεῦδεν ὁμοτόνως ὀφείλομεν προφέρεσθαι.

33.

E. M. 535, 28.

„κρατερός“: . . . . τὰ εἰς τερος τρισύλλαβα προπαροξύνεται [1]). τοῦτο δὲ ὀξύνεται, διότι οὐκ ἐγένετο ἡ παραγωγὴ διὰ τοῦ τερος, ἀλλὰ διὰ τοῦ ερος· ὁμοιόν ἐστι καὶ τὸ βλαβερός ἐκ τοῦ βλάβη [2].

L. Herod. A 280.

„καρτερός“: τὰ εἰς τερος τρισύλλαβα βαρύνεται, οἷον σφέτερος, πρότερος, κύντερος. πῶς οὐχὶ κάρτερος κατὰ βαρεῖαν λέγομεν; ὅτι τοῦτο οὐκ ἦν εἰς τερος, ἀλλ' εἰς ερος. τὸ γὰρ τ οὐκ ἐν τῇ παραγωγῇ ἔσχεν. ἦν γὰρ ἀπὸ τοῦ κράτος. ὡς ἀπὸ τοῦ βλάβος βλαβερός οὐ διὰ τοῦ βερος ἡ παραγωγή (ἐν γὰρ τῷ πρωτοτύπῳ τὸ β), οὕτως καὶ ἀπὸ τοῦ κράτος κρατερός διὰ τοῦ ερος ἡ παραγωγή, οὐ διὰ τοῦ τερος.

[1] cod. Haun. 1971 addit: οἷον σφέτερος, πρότερος, κύντερος. quod Gaisfordius, Herodiani adnotamento comparato, in textum recipere debuit. [2]) Herodiani verba in V. servata sunt: τὸ γὰρ τ οὐκ ἐν τῇ παραγωγῇ ἔσχεν· ἀλλ' ὡς ἀπὸ τοῦ βλάβος βλαβερός, οὕτως ἀπὸ τοῦ κράτος κρατερός, ὡς θάλλω θαλερός. cf. Cramer. Anecd. I, 228, 10. Et. Gud. 343, 21.

34.

E. M. 521, 10.

„Κλονίος“: . . τὰ εἰς ος λήγοντα τριβράχεα ἐπὶ κυρίων παροξύνεται· οἷον Σχεδίος, Χρομίος,

L. Herod. B 495.

„Κλονίος“: παροξύνεται, ἐπεὶ τὰ εἰς ος λήγοντα τῷ ι παραληγόμενα, τριβράχεα, ἐπὶ κυρίων παρο-

Κλυτίος, Ὁδίος, Δολίος, Τυχίος. ἀντιπίπτουσι δὲ κατὰ παράδοσιν τὸ Ἅλιος, Ἄνιος, Ξένιος, Κρόνιος.

ξύνεται, Σχεδίος, Χρομίος, Δολίος. ἀντιπίπτει [1]) τὸ Ἅλιος κατὰ τὴν παράδοσιν, καὶ τὸ Ἄνιος καὶ Κρόνιος καὶ Ξένιος [1]).

[1]) Sic cod. V. ab ἀντιπίπτει usque ad Ξένιος. — cf. L. Herod. ad E 683. Etym. Gud. 328, 59. Eust. 264, 34.

35.

E. M. 578, 54.

„μεμνέῳτο“: „ὡς μεμνέῳτο δρόμους“ — Ἰλιάδος ψ' — 361 — . . . . προπαροξύνεται καὶ σὺν τῷ ι γράφεται. ἀπὸ τοῦ μεμνέοιτο, αὐξήσει τοῦ ο εἰς ω, μεμνέῳτο. Ξενοφῶν δὲ μεμνῷτο ἄνευ τοῦ ε. Κράτης δὲ μεμνοῖτο. τὸ δὲ ἀνάλογον μεμνῇτο διὰ τοῦ η προσκειμένου τοῦ ι. Πίνδαρος δὲ Δωρικώτερον διὰ τῆς αι μεμναίατο.

cf. Eust. 1305, 48.

L. Herod. Ψ 361.

προπαροξυτονητέον τὸ „μεμνέῳτο“. γράφεται δὲ καὶ σὺν τῷ ι τὸ ω. οὕτω δὲ καὶ ὁ Ἀσκαλωνίτης, ἐκ τοῦ μεμνέοιτο ἡγούμενος αὐτὸ εἶναι. παρὰ μέντοι Ξενοφῶντι ἄνευ τοῦ ε ἐστὶν ὁ σχηματισμὸς καὶ προπερισπᾶται, ἐν Κύρου παιδείας πρώτῳ (6, 3) „ἀλλ' ὅτε τὰ ἄριστα πράττοι, τότε μάλιστα τὸν θεὸν μεμνῷτο“. τὸ δὲ ἀνάλογον διὰ τοῦ η προσκειμένου τοῦ ι παρ' Ἀριστοφάνει ἐν Πλούτῳ δευτέρῳ (992) „ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου“. καὶ πάλιν προπερισπαστέον ἐν ἑτέροις μέντοι ἐντελῶς περὶ τοῦ σχηματισμοῦ διέλαβον καὶ περὶ γραφῆς τῆς κατὰ γενικήν, λέγω δὲ τῆς δρόμου ἢ αἰτιατικῆς πληθυντικῆς τῆς δρόμους.

36.

E. M. 586, 53.

„μεταμάζιον“: . . . ἓν ποιητέον ὡς τὸ μετάφρενον καὶ ἐνώπιον. παρῆκται δὲ παρὰ τὸ μαζός καὶ τὴν μετά πρόθεσιν [1]), ὡς παρὰ τὸ χθονός καὶ τὴν ἐπί ἐπιχθόνιος, καὶ τὴν [2]) παρά καὶ [2]) ποταμός παραποτάμιος. γίνεται γὰρ καὶ ἀπὸ δύο λέξεων ἕν τι παραγωγόν, ὡς τὸ Νεαπολίτης καὶ ἄλλα μυρία.

L. Herod. E 19.

„μεταμάζιον“: οὕτως μεταμάζιον ἓν ποιητέον ὡς τὸ μετάφρενον καὶ ἐνώπιον. παρῆκται δὲ παρὰ τὸ μαζός καὶ τὴν μετά, ὡς παρὰ τὸ χθονός καὶ τὴν ἐπί ἐπιχθόνιος, παρὰ ποταμόν παραποτάμιος. γίνεται γὰρ καὶ ἀπὸ δύο λέξεων κατὰ παράθεσιν [3]) ἕν τι παραγωγόν, ὡς τὸ Νεαπολίτης καὶ ἄλλα μυρία.

[1]) πρόθεσιν om. codd. V et D, ut Venet. A. [2]) καὶ τήν et καί item om. codd. D, P. [3]) κατὰ παράθεσιν in Etym. non legitur.

37.

E. M. 585, 26.

. . . . . . τὸ „αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη“ — A 464 — Πτολεμαῖος τὸ ε τελευταῖον λαμβάνει τοῦ μῆρε, ἵνα ἰαχώτερον ἐκδέξηται τὸ κάη. καὶ Ἀρίσταρχος δὲ οὕτω. δύναται δὲ καὶ ἐκάη εἶναι τὸ πλῆρες, ἐκθλίψεως γενομένης τοῦ α, ὥσπερ καὶ ἐπὶ τοῦ ἐντελέστερον εἰρημένου [1]) „κατὰ πίονα

L. Herod. A 464.

„μῆρ' ἐκάη“: Πτολεμαῖος τὸ ε τελευταῖον λαμβάνει τοῦ μῆρε, ἵνα ἰαχώτερον ἐκδέξηται τὸ κάη. καὶ Ἀρίσταρχος δὲ οὕτως. δύναται δὲ καὶ ἐκάη εἶναι τὸ πλῆρες, ἐκθλίψεως γενομένης τοῦ α, ὥσπερ καὶ ἐπὶ τοῦ ἐντελεστέρου αὐτοῦ ὁρῶμεν [1]) „ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα“ —

μήρι' ἔκηα" — 40 —. τὸ δὲ τοιοῦτον πολὺ παρὰ τῷ ποιητῇ. ἀπεφηνάμην δὲ ἐντελέστερον [εἶναι][3] τὸ μηρίον τοῦ μηρόν[4]). ἐκ γὰρ συγκοπῆς αὐτοῦ ἐγένετο[5]). ἐπεί τοι εὐθύνεται ὁ τόνος. τὰ γὰρ εἰς ος λήγοντα, μεταπλασσόμενα εἰς οὐδέτερον τὸν αὐτὸν τόνον φυλάττει. ὁ ζυγός τὸ ζυγόν· ὁ δίφρος τὸ δίφρον. ὅθεν καὶ μηρός μηρόν καὶ μηρά. Sequuntur aliena.

40 —. τὸ δὲ τοιοῦτο πολὺ παρὰ τῷ ποιητῇ, λέγω δὲ τὸ καὶ τὸν χρόνον τὸν ἔξωθεν φυλάσσειν τὸ ῥῆμα καὶ συνάρχεσθαι τῷ ἐνεστῶτι[2])· ἀπεφηνάμην δὲ ἐντελέστερον τὸ μηρίον τοῦ μήρου ὄν[4]). ἐκ γὰρ συγκοπῆς αὐτοῦ ἐγεγόνει[5]). ἐπεί τοι εὐθύνεται ὁ τόνος· τὰ γὰρ εἰς ος λήγοντα, μεταπλασσόμενα εἰς οὐδέτερον γένος τὸ εἰς ον λῆγον, τὸν αὐτὸν τόνον φυλάσσει[6]). ὁ ζυγός τὸ ζυγόν — τὰ ζυγά[7]), δίφρος δίφρον, δίφρα[7]). ὅθεν εἰ[8]) καὶ μηρός, καὶ μηρόν καὶ μηρά. [εἰ δὲ μῆρα καὶ μήρους.] εἰ δὲ δοίημεν, ὅτι κυρίως τὰ ἁγιαζόμενα θεοῖς μῆρα καλεῖται, τὸ περὶ τοῦ σημαινομένου καὶ τοῦ περὶ τὸν τόνον ἁμαρτήματος τὴν λέξιν ἀπολύει.

cf. Herod. ad B 427. [1]) Etym. M. εἰρημένου, Venet. A. αὐτοῦ ὁρῶμεν. [2]) Verba λέγω — ἐνεστῶτι omisit Etym. [3]) delendum est, om. cod. D. [4]) corr. ut in Venet. A. pro τοῦ μηρόν — τοῦ μηροῦ ὄν. [5]) ἐγένετο Etym. M. ἐγεγόνει Venet. A. [6]) contractius Etym. μεταπλασσόμενα εἰς οὐδέτερον τὸν αὐτὸν τόνον φυλάττει. [7]) Haec pluralia ζυγά, δίφρα omisit Etym. [8]) εἰ deest in Etym. M.

38.

E. M. 639, 35.

„οὐδενόσωρα": Ἰλιάδος θ' — 178 — . . . ὑφ' ἓν κατὰ σύνθεσιν, εἰ καὶ σπάνιος ἡ τοιαύτη σύνθεσις ἐξ ἀποφασέως καὶ συνδέσμου καὶ τῆς ἑνός γενικῆς, ταῦτα δὲ ποιητῶν τολμήματα αἱ ξέναι συνθέσεις[2]).

L. Herod. Θ 178.

„οὐδενόσωρα": ὡς κυνόσουρα ὑφ' ἓν κατὰ σύνθεσιν, εἰ καὶ σπάνιος ἡ τοιαύτη σύνθεσις ἐξ ἀποφάσεως καὶ συνδέσμου καὶ τῆς ἑνός γενικῆς ἐντελοῦς[1]). οὐδέποτε γὰρ οὕτως αὕτη ἡ γενικὴ συντίθεται. ἀλλ' οἵγε ποιηταὶ τολμῶσι ξένας συνθέσεις[2]).

Quae praeterea hac in glossa leguntur descripta sunt ἐκ τοῦ Ἡρωδιανοῦ περὶ σχημάτων, quem Etym. hoc loco citavit cf. Lentzium II p. 848, 16. — Herodiani ὡς κυνόσουρα legitur in V. — [1]) deest in E. M. [2]) Etym. paulo contractius. — cf. Eust. 706, 1.

39.

E. M. 640, 47.

. . . . „οὔλη" δὲ βαρύνεται. καὶ τὸ ἀρσενικὸν αὐτοῦ. καὶ μήποτε ἀνάλογος ἡ παρὰ τῷ ποιητῇ ἀνάγνωσις πρὸς τὴν κοινὴν συνήθειαν, εἴγε ὀξύνεται[2]) τὸ ὄνομα λεγόμενον οὐλὸς ἄνθρωπος καὶ οὐλὴ κόμη· οὐ δέον δέ. τὰ γὰρ εἰς λος λήγοντα δισύλλαβα μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον, παραληγόμενα δὲ τῷ ο, ἤτοι μόνῳ ἢ μεθ' ἑτέρου φωνήεντος, βαρύνεται, πόλος, στόλος, κοῖλος, δοῦλος. προσέθηκα δὲ μὴ ἔχοντα[3]) σύμφωνον, διὰ τὸ μοχλός. τὸ μέντοι θολός ὀξυνόμενον πρὸς ἀντιδιαστολήν ἐστιν.

L. Herod. K 134.

„οὔλη δ'": ὡς κούρη· οὕτως γὰρ καὶ τὸ ἀρσενικὸν αὐτοῦ ἐβαρύνετο „οὔλων[1]) τε ταπήτων" — Π 224 —. τούτῳ συγκατατίθεται καὶ ὁ Ἀσκαλωνίτης καὶ Ἀλεξίων καὶ Ἀρίσταρχος. καὶ μήποτε ἀνάλογος ἡ παρὰ τῷ ποιητῇ ἀνάγνωσις πρὸς τὴν κοινὴν συνήθειαν, εἴ γε ὀξυτονοῦσι[2]) τὸ ὄνομα, λέγοντες οὐλὸς ἄνθρωπος καὶ οὐλὴ κόμη· οὐ δέον δέ. τὰ γὰρ εἰς λος λήγοντα δισύλλαβα μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον, παραληγόμενα δὲ τῷ ο, ἤτοι μόνῳ ἢ μεθ' ἑτέρου φωνήεντος, βαρύνεται, πόλος, στόλος, θό-

λος[3]), κοῖλος, δοῦλος. οὕτως καὶ οὖλος[4]). προσέθηκα δὲ μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο[5]) σύμφωνον διὰ τὸ μοχλός, πολλός[6]). τὸ μέντοι θολός ὀξυνόμενον πρὸς ἀντιδιαστολήν ἐστι.

cf. ad II 224. — [1]) Verba οὔλων — Ἀρίσταρχος om. Etym. [2]) Kulenkampius proponit: εἴ γε ὀξυτόνως τὸ ὄνομα λέγεται, ,,quae verba mentem Etymologi accuratius exprimunt''. Tu corr. ut in Venet. A: εἴ γε ὀξυτονοῦσι τὸ ὄνομα λέγοντες. [3]) θόλος non legitur in E. M. [4]) haec desunt in Et. M. [5]) μὴ ἔχοντα σύμφωνον Et. M. — μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον Venet. A. [6]) πολλός om. Etym. — cf. Eust. 794, 27.

40.

E. M. 653, 26.

„παρειά“: Ἰλιάδος γ΄ — 35 — χωρὶς τοῦ σ, ἵν' ᾖ οὐδέτερον. τὰ γὰρ ἀπὸ τῶν τοιούτων θηλυκῶν μεταποιούμενα εἰς οὐδέτερον γένος τοῦ αὐτοῦ σημαινομένου μένοντος τὸν αὐτὸν φυλάττει τόνον, πλευραί πλευρά, πυραί πυρά. οὐκ ἀντίκειται τὸ νευραί νεῦρα. διάφορον γὰρ τὸ σημαινόμενον . . . .

L. Herod. Γ 35.

„παρειά“: οὕτως ὀξυτόνως καὶ χωρὶς τοῦ σ γραπτέον, ἵνα ᾖ οὐδέτερον. τὰ γὰρ ἀπὸ τῶν τοιούτων θηλυκῶν μεταποιούμενα εἰς οὐδέτερον γένος τοῦ αὐτοῦ σημαινομένου μένοντος τὸν αὐτὸν φυλάσσει τόνον, πλευραί πλευρά, πυραί πυρά. οὐκ ἀντίκειται τὸ νευραί καὶ νεῦρα. διάφορον γὰρ τὸ σημαινόμενον· οὕτως[1]) παρειαί παρειά. φασὶ μέντοι Ἀρίσταρχον καὶ Ἀριστοφάνην γράφειν παρειάς σὺν τῷ σ, ἐπειδὴ καὶ „παρειάων ἁπαλάων“ λέγει — Σ 123 —.

vid. Cramer. Anecd. I, 373, 18. [1]) verba οὕτως — λέγει om. Etym.

41.

E. M. 656, 15.

„πάτος“: Ὅμηρος „πάτον ἀνθρώπων ἀλεείνων“, ὡς λόγον, Ἰλιάδος ζ΄ — 202 —. τὰ γὰρ εἰς τος λήγοντα δισύλλαβα, βραχείᾳ παραληγόμενα, μονογενῆ βαρύνεται, κρότος, νότος, μίτος, πότος. οὕτω καὶ πάτος. δοκεῖ ἀντικεῖσθαι τὸ στρατός. τὸ γὰρ βροτός κατὰ δύο τρόπους ἀποφεύγει, ὅτι καὶ κοινὸν καὶ ἔχει ἀντέμφασιν . . . .

L. Herod. Z 202.

„πάτον“: ὡς λόγον· τὰ γὰρ εἰς τος λήγοντα δισύλλαβα, βραχείᾳ παραληγόμενα, μονογενῆ βαρύνεται, κρότος, κότος[1]), μίτος, νότος, πότος. οὕτως ἄρα καὶ πάτος. δοκεῖ ἀντικεῖσθαι τὸ στρατός. τὸ γὰρ βροτός κατὰ δύο τρόπους ἀποφεύγει, ὅτι καὶ κοινὸν καὶ ἔχει ἀντέμφασιν.

[1]) κότος om. Etym. (est in V cod.). cf. Etym. Gud. 106, 15. Eust. 636, 60.

42.

E. M. 518, 45.

. . . . τινὲς „πολυκλῆισι“ προπερισπῶσιν, ὡς καὶ τὸ ἁπλοῦν „ἐπὶ κληῖσι καθῖζον“. οὐκ ἔχει δὲ οὕτως ἡ ἀνάγνωσις. ἔστιν οὖν ὁ λόγος ὑπὲρ τοῦ βαρυτόνου λέγων[1]) οὕτως· τὰ εἰς ις λήγοντα θηλυκὰ ὀξύτονα[2]), εἰ μὲν ἐν τῇ συνθέσει φυλάσσει[3]) μόνον τὸ θηλυκὸν γένος, καὶ τὸν αὐτὸν τόνον φυλάσσει. εἰ δὲ μεταληπτικὸν γένοιτο καὶ ἀρσενικοῦ[4]), μεθίσταται καὶ εἰς βαρύτονον

L. Herod. B 175.

„φεύξεσθ' ἐν νήεσσι πολυκλήισι“. τινὲς προπερισπῶσιν, ὡς καὶ τὸ ἁπλοῦν „ἐπὶ κληῖσι καθῖζον“ — β 419 —. ὡς γὰρ πλοκαμίς — „ἐυπλοκαμῖδες Ἀχαιαί — β 119 —, οὕτως καὶ κληίς καὶ πολυκληίς*). οὐκ ἔχει δὲ οὕτως ἡ ἀνάγνωσις. ἔστιν οὖν λόγος ὑπὲρ τῆς βαρυνομένης λέξεως[1]) οὗτος. τὰ εἰς ις λήγοντα θηλυκὰ ὀξυνόμενα[2]), εἰ μὲν ἐν τῇ συνθέσει φυ-

τάσιν. [κανόνος παραδείγματα] · τοῦ μὲν προτέρου περισκελίς[5]), τοῦ δὲ δευτέρου δύσελπις. ταύτῃ οὖν τὸ μὲν καταιγίς ὀξύνεται, τὸ δὲ μελάναιγις βαρύνεται · οὕτως οὖν καὶ τὸ εὐκλῄς καὶ πολυκλῄς βαρύνεται[6]). τίθεται γὰρ καὶ ἐπὶ ἀρσενικοῦ ὡς καὶ ἐκ τοῦ ἐναντίου τὸ λεύκασπις. καὶ γὰρ ἐπὶ Ἀμαζόνος ταγείη ἂν τὸ εὐκλῄς[7]) καὶ τὸ εὐκνήμις ἐπὶ τῆς Ἀθηνᾶς „ἐπὶ νηὸν εὐκνήμιδος Ἰτώνης“.

λάσσοι μόνον τὸ θηλυκὸν γένος, καὶ τὸν αὐτὸν τόνον φυλάσσει, εἰ δὲ μεταληπτικὰ γίνοιτο καὶ ἀρσενικοῦ[4]), μεθίσταται καὶ εἰς βαρεῖαν τάσιν ἀναγκαίως. τοῦ μὲν προτέρου, φυλάσσοντος τὸ αὐτὸ γένος καὶ τὸν αὐτὸν τόνον, περισκελίς[5]), τοῦ δὲ δευτέρου δύσελπις. ταύτῃ οὖν τὸ μὲν καταιγίς ὀξύνεται, τὸ δὲ μελάναιγις βαρύνεται. οὕτως οὖν καὶ τὸ εὐκλῄς καὶ πολυκλῄς βαρυνθήσεται[6]). τίθεται γὰρ καὶ ἐπὶ ἀρσενικοῦ ὡς καὶ ἐκ τοῦ ἐναντίου τὸ λεύκασπις. καὶ γὰρ ἐπὶ Ἀμαζόνος ταγείη ἄν. καὶ τὸ εὐκνήμις ἀμέλει ἐπὶ Ἀθηνᾶς τέτακται παρὰ Ῥιανῷ ἐν Θεσσαλικοῖς „τοὶ δ' ἤδη ἐπὶ νηὸν εὐκνήμιδος Ἰτώνης“.

*) verba: ὡς — πολυκλῄς non leguntur in Etym.

1) τῆς βαρυνομένης λέξεως οὗτος Venet. A. 2) ὀξυνόμενα id. 3) φυλάσσοι id. 4) cod.. ἀρσενικόν; corr. Sylburgius: ,,aptius fere ἀρσενικοῦ, genit. casu, ut v. 56''. — Sic Venet. A. 5) βαρεῖαν τάσιν ἀναγκαίως, τοῦ μὲν προτέρου φυλάσσοντος τὸ αὐτὸ γένος καὶ τὸν αὐτὸν τόνον, περισκελίς. Venet. A. 6) βαρυνθήσεται id. 7) τὸ εὐκλῄς om. Venet. A, qui mox καὶ τὸ εὔκνημις ἀμέλει ἐπὶ τῆς Ἀθηνᾶς τέτακται παρὰ Ῥιανῷ ἐν Θεσσαλικοῖς · τοὶ δ' ἤδη ἐπὶ νηῶν (corr. Lehrsius ut est in E. M.) εὐκνήμιδος Ἰτώνης.

43.

E. M. 727, 1.

„στεῖνος“: „στεῖνος γὰρ ὅθι τρώσεσθαι ὀΐω“ — M 66 —. προπερισπᾶται. οὐδέτερον γάρ · πᾶν δὲ εἰς ος οὐδέτερον ἐν ὀνόμασι βαρύνεται · καὶ μακρός ἀρσενικὸν ὑπάρχον ὀξύνεται · εἰ δὲ οὐδέτερον γένοιτο, βαρύνεται . . . . .

L. Herod. M 66.

προπερισπαστέον τὸ „στεῖνος“. οὐδετέρως γὰρ ἐξενήνεκται, πᾶν δὲ οὐδέτερον εἰς ος λῆγον ἐν ὀνόμασι βαρύνεσθαι θέλει. οὕτως οὖν καὶ μακρός ὀξύνομεν ἀρσενικὸν ὑπάρχον · εἰ δὲ οὐδέτερον γένοιτο, βαρύνεται. οὕτως καὶ τὸ κλειτός. οὐδέτερον γὰρ γενόμενον βαρύνεται παρ' Ἀλκμᾶνι „ἐν τῷ Θεσσαλικῷ κλεῖτει“.

Quae sequuntur ex Aristonico in Etym. M. transierunt, cf. Carnuth. de E. M. font. p. 19 (III, 42). cf. ad Ψ 419.

44.

E. M. 749, 45 et 40.

„ὑπέρμορα“: . . ἢ οὐ κατὰ διάστασιν. ἀντὶ γὰρ τοῦ ὑπερμόρως εἴληπται. ἐκ γὰρ τοῦ μόρος γίνεται ὑπέρμορος. ἐξ αὐτοῦ τὸ οὐδέτερον. καὶ τὰ πληθυντικὰ ὑπέρμορα. 40. καὶ ὃν τρόπον τὸ καλόν καὶ τὰ καλά εἰσιν ὀνόματα ἀλλὰ καὶ ἐπιρρήματα, οὕτως καὶ τοῦτο εἰς σύνταξιν ἐπιρρηματικὴν λαμβάνεται.

L. Herod. B 155.

„ὑπέρμορα“: οὕτως ὑφ' ἓν τὸ ὑπέρμορα · οὐ γάρ, ὥς τινες, κατὰ διάστασιν. ἔστιν οὖν τι μόρος, ὃ συντιθὲν γίνεται ὑπέρμορος ὡς ὠκύμορος, οὗ οὐδέτερον τὸ ὑπέρμορον καὶ πληθυντικὸν τὰ ὑπέρμορα. ὡς οὖν τὸ καλά καὶ ὄνομα ἀλλὰ καὶ ἐπίρρημα „ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι“ — ρ 397 — καὶ „πυκνὰ μάλα στενάχων“ — Σ 318 — οὕτως καὶ „ὑπέρμορα νόστος ἐτύχθη“.

Quae inserta sunt: ἢ ὅτι δύναται καὶ τοῦτο καὶ τὸ ὑπέρμορον κατὰ διάλυσιν ἀναγινώσκεσθαι, ὁμοίως τῷ ,,ὑπὲρ μοῖραν δόμον ἄϊδος'' sunt sumpta ex aduot. ad Υ 30. — Cramer. Anecd. I, 419, 9 et 422, 32. Eust. 1193, 58.

45.

E. M. 801, 38.

„φύγαδ᾽ ἔτραπε μώνυχας ἵππους“ — Θ 157 —: . . . ὡς ἄλαδε· καὶ ἤτοι τὴν φυγήν φύγα εἶπεν, ὡς τὴν σκέπην σκέπα· καὶ ὡς τὸ οἶκον δὲ οἴκαδε, οὕτω φυγὴν δὲ φύγαδε.

L. Herod. Θ 157.

„φύγαδε“: ὡς ἄλαδε· καὶ ἤτοι τὴν φυγὴν φύγα εἶπεν κατὰ μεταπλασμόν [1]), ὡς τὴν σκέπην σκέπα. ἢ ὡς τὸ οἶκον δὲ οἴκαδε, οὕτως φυγὴν δὲ φύγαδε.

cf. L. Herod. ad Θ 257. Λ 446. Π 697. — [1]) κατὰ μεταπλασμόν om. Etym. — Eust. 704, 51.

46.

E. M. 822, 27.

. . . . . „ὦμος“ βαρύνεται. τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ω, μὴ προσκειμένου τοῦ ι, βαρύνεται, ὦρος, ὦχρος. πρόσκειται μονογενῆ διὰ τὸ ὠμός, ἀπὸ τοῦ ω ἀρχόμενα διὰ τὸ ζωμός καὶ τὰ ὅμοια, μὴ προσκειμένου τοῦ ι, διὰ τὸ ᾠδός ὁ τραγῳδός.

L. Herod. Γ 35.

„ὦχρος“: οὕτως ὦχρος ὡς ὦμος, εἰς ἀποφυγὴν τοῦ ἐπιθετικοῦ. τάχα δὲ καὶ ἄχροός ἐστιν, ὃ ἐν ὑπερθέσει γίνεται ἄοχρος καὶ κατὰ συναλοιφὴν ποιεῖ τὸ ὦχρος βαρυνόμενον. ἄλλως τε τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ω, μὴ προσκειμένου τοῦ ι, βαρύνεται, ὦμος. πρόσκειται μὴ ἔχοντα τὸ ι διὰ τὸ ᾠδός.

cf. Crameri Anecd. I, 450, 23. — Etym. Gud. 579, 24. — Eust. 377, 44.

Notabilis locus ad cognoscendum, quomodo Etymologus sua concinnaverit, est p. 123, 38 s. v. ἀπό, qui inscriptus est περὶ τῶν προθέσεων; praemissis aliorum grammaticorum adnotamentis sequuntur Herodiani praecepta, quae per complures Iliadis locos passim dispersa undique studiose conquisivit et corrasit.

47.

E. M. 123, 41.

. . . καὶ ἐὰν μεταξὺ δύο ὀνομάτων πρόθεσις ᾖ, οἷον „μάχῃ ἔνι κυδιανείρῃ“ — Ζ 124 — „ἀπὸ ἧς ἀλόχου“ — Β 292 — οὐκ ἀναστρέφεται· ἐπειδὴ ἡ ἀπό πρόθεσις συντασσομένη μετὰ γενικῆς καὶ τὸν οἰκεῖον τόνον τηρεῖ, ὡς ἐν τῷ „φίλης ἀπὸ πατρίδος αἴης“ — Β 162 — καὶ δηλοῖ χωρισμόν . .

cf. Herod. ad Β 523.

L. Herod. Β 162. 292.

„φίλης ἀπὸ πατρίδος αἴης“: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν, ὡς Τυραννίων καὶ Πτολεμαῖος. ὁπότε γὰρ γενικῇ συντάττεται ἡ ἀπό μὴ μεταξὺ πιπτουσῶν λέξεων καὶ σημαίνῃ τὸ ἄποθεν, τηρεῖ τὸν τόνον· „καὶ γάρ τις θ᾽ ἵνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο“ — 292 — „ἀπὸ ἧς ἀλόχοιο“: τινὲς ἀνέγνωσαν ἄπο ἧς ἀλόχοιο κατὰ ἀναστροφήν, ἵνα σημαίνηται τὸ ἄπωθεν. ἄμεινον δὲ πείθεσθαι τῇ κατειθισμένῃ ἀναγνώσει. συντέτακται γὰρ τῇ γενικῇ.

48.

E. M. 123, 49.

„ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι“. τὸ ἑξῆς ἀπαμῦναι. διὸ φυλάσσει τὸν ἴδιον τόνον. ὅτε γὰρ ἡ πρόθεσις τὴν σύνταξιν ἐλλιπῆ *) ἔχει πρός τι [1]) τὸ ἐπιφερόμενον, τὸν ἴδιον τόνον φυλάσσει.

L. Herod. Α 67.

„ἀπὸ λοιγὸν ἀμῦναι“: τὸ ἑξῆς ἐστιν ἀπαμῦναι. διὸ φυλάττει τὸν ἴδιον τόνον· ὅταν γὰρ πρόθεσις τὴν σύνταξιν ἔχῃ πρὸς τὸ ἐπιφερόμενον, τὸν ἴδιον τόνον φυλάττει, ἅτε δὴ ἐπέχουσα τὴν τάξιν.

[1]) Pronomen τι delendum esse arbitratur St., fortasse legendum est πρὸς ἐπιφερόμενόν τι, ut Herod. ad Α 258 scripsit *) ἐλλιπῆ non habet Venet. A.

49.

E. M. 123, 54.

τὴν παρά πρόθεσιν κατὰ τὴν ἀρχὴν ὀξύνουσι. καὶ καθόλου ὅτε σημαντικαί εἰσι τῶν ῥημάτων αἱ προθέσεις, τοῦτον τὸν τόνον ἀναδέχονται, οἷον „ἐπεὶ οὔτοι ἔπι δέος“ — Α 515 — „οὕνεκα καλὸν εἶδος ἔπ᾽· ἀλλ᾽ οὐκ ἔστιν“. — Γ 44 — „οὐ γὰρ ἔπ᾽ ἀνὴρ οἷος Ὀδυσσεύς“ — β 58 —.

E. M. 315, 8.

. . . . . προπαροξυτόνως. ἔστι γὰρ Ἀττικόν, ὡς ἡ ἔμοιγε· οἷον „πάρ᾽ ἔμοιγε καὶ ἄλλοι, οἵ κέ με τιμήσουσιν“.

L. Herod. A 174.

„πάρ᾽ ἔμοιγε“. τὴν παρά πρόθεσιν κατὰ τὴν ἄρχουσαν ὀξυτονητέον. καὶ καθόλου ὁπότε σημαντικαί εἰσι ῥημάτων αἱ προθέσεις, τοῦτον τὸν τόνον ἀναδέχονται· „ἐπεὶ οὔτοι ἔπι δέος“ — 515 — καὶ „οὐ γὰρ ἔπ᾽ ἀνὴρ οἷος Ὀδυσσεύς“ — β 58 — τὴν δὲ „ἔμοιγε“ προπαροξυτονητέον· ἔστι γὰρ Ἀττική, ὡς καὶ ἡ ἔγωγε.

50.

E. M. 124, 1.

„οἳ περὶ μὲν βουλῇ Δαναῶν, περὶ δ᾽ ἐστὲ μάχεσθαι“ — Α 258 —. ἡ περί ἀντὶ ἑτέρας κεῖται τῆς ὑπέρ. τὸν ἴδιον οὖν τόνον φυλάττει. πρόθεσις γὰρ ἀντὶ ἑτέρας προθέσεως παραλαμβανομένη τὸν ἴδιον τόνον φυλάσσει. οὕτως ἔχει τὸ „ἀλλ᾽ ὅδ᾽ ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων“ — 287 —.

L. Herod. A 258.

„οἳ περὶ μὲν βουλήν“: ἡ περί ἀντὶ ἑτέρας κεῖται τῆς ὑπέρ. τὸν ἴδιον οὖν τόνον φυλάξει. πρόθεσις γὰρ ἀντὶ ἑτέρας προθέσεως παραλαμβανομένη τὸν ἴδιον τόνον φυλάττει. οὕτως ἔχει καὶ τὸ „ἀλλ᾽ ὅδ᾽ ἀνὴρ ἐθέλει περὶ πάντων“ — 287 — εἴτε τοῖς ἑξῆς συνάπτεται, ἀντὶ τοῦ περίεστε, πάλιν φυλάξει τὸν ἴδιον τόνον· πάλιν[1] γὰρ πᾶσα πρόθεσις ἔχουσα σύνταξιν πρὸς ἐπιφερόμενόν τι τὸν ἴδιον τόνον φυλάσσει, ὡς τὸ „νήπιοι οἳ κατὰ βοῦς ὑπερίονος ἠελίοιο ἤσθιον“ — α 8 —.

[1]) Haec Et. omisit hoc loco; leguntur iam 123, 51 ad ἀπό. cf. Herod. ad B 831. E 325.

IV.

Praemisi haec, ut fidem faciam etiam has reliquas notas, quae si non ipsa verba Herodiani, at sententiam certe eius servaverunt, indidem fluxisse.

1.

E. M. 187, 6.

„βαλών“: . . . . αἱ γὰρ εἰς ων λήγουσαι μετοχαί, ὁπότε ἐν ἐπιπλοκῇ ἔχουσι σύμφωνον, ὧν τὸ δεύτερόν ἐστιν ἀμετάβολον, πάντως βαρύνονται, τέμνων, κάμνων. τούτοις ὅμοιον τὸ πέφνων.

L. Herod. Π 827.

. . . . . ἐπεὶ γὰρ αἱ εἰς νων λήγουσαι μετοχαί, ἔχουσαι πρὸ τοῦ ν σύμφωνον κατ᾽ ἐπιπλοκήν, ἤτοι ἐβαρύνοντο ἢ περιεσπῶντο, οὐδέποτε δὲ ὠξύνοντο, ὥσπερ ἔχει ἡ τέμνων, κάμνων, πιτνῶν, ἐδοκίμαζε καὶ τὴν πέφνων βαρύνειν, οὐχὶ ὀξύνειν.

cf. Crameri Anecd. I, 92, 26. Etym. Gud. 103, 44 et 464, 20.

2.

E. M. 399, 3.

„εὐτείχεον“ . . . . τὰ εἰς ος ἀπὸ οὐδετέρων συντιθέμενα ἀπὸ εὐθείας συντίθεται· οἷον ξίφος ἄξιφος, ῥῖγος δύσριγος· πλὴν τοῦ εὐτείχεος ἀπὸ γενικῆς συντιθεμένου. ὤφειλε γὰρ ἡ σύνθεσις ἀπὸ εὐθείας εἶναι· ἐγένετο δὲ ἀπὸ γενικῆς διὰ τὸν κανόνα . . . . .

L. Herod. Π 57.

. . . . τὰ εἰς ος λήγοντα οὐδέτερα συντιθέμενα ἀπ' εὐθείας συντίθεται, ξίφος ἄξιφος· μόνον τὸ τεῖχος καὶ ἀπὸ γενικῆς, τείχεος εὐτείχεος, ἀφ' οὗ τὸ „δῷσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι“ — Α 129 —. μεταπλασμὸς εὐτείχεα, ὡς πυρροκέρατον πυρροκέρατα· πάθος παρέλαβον, ἵνα βοηθήσω τῇ τετριμμένῃ τάσει.

cf. Crameri Anecd. I, 129, 31. — Etym. Gud. 222, 5. — Eust. 1045, 59. cf. ad Λ 799.

3.

E. M. 568, 47.

„λοῦτρον“: βαρύνεται· ἐπειδὴ πᾶ νεὶς τρον λῆγον ἀπαρασχημάτιστον βαρύνεται, κέντρον, δένδρον, σεῖστρον. τὸ δὲ λουτρόν πρὸς διαφορὰν σημαινομένου. ἐπὶ μὲν γὰρ τοῦ τόπου βαρύνεται· ἐπὶ δὲ τοῦ ὕδατος, ᾧ λουόμεθα, ὀξύνεται.

L. Herod. Ο 678.

τὸ μὲν „βλῆτρον“ βαρυτονητέον, ἐπεὶ πάντα τὰ εἰς τρον λήγοντα μονογενῆ οὐδέτερα βαρύνεται, σεσημειωμένου τοῦ λουτρόν.

4.

E. M. 393, 5.

„εὐληνής“: παρὰ τὸ λῆνος οὐδετέρως· τὰ δὲ ἀπὸ τῶν εἰς ος οὐδετέρων εἰς ης γινόμενα σύνθετα ὀνόματα τῷ η παραληγόμενα, εἰ μὴ ἔχει τὸ ν, βαρύνεται. ὅθεν τὸ εὐληνής ὀξύνεται.

L. Herod. Ν 63.

„περιμήκεος“: ὡς Διομήδεος. τὰ γὰρ εἰς ης σύνθετα, παρ' οὐδέτερα γενόμενα τὰ εἰς ος, τῷ η παραληγόμενα βαρύνεσθαι θέλει, ὥσπερ ἔχει παρὰ τὸ κῆτος τὸ μεγακήτης, ἦθος κακοήθης. διὸ τὰ λαθικηδής, οἰνοπληθής ὀξυνόμενα παρὰ ῥήματά φαμεν συντεθεῖσθαι τὸ κήδω καὶ τὸ πλήθω.

5.

E. M. 474, 27.

. . . . ἐπειδὴ τὰ εἰς ης ὑπὲρ μίαν συλλαβὴν ἐν τῇ συνθέσει τοῦ ἁπλοῦ φυλάσσει τὸν τόνον, ἐρανιστής, ἀρχερανιστής.

L. Herod. Μ 164.

„φιλοψευδής“: ὀξυτονητέον ὁμοίως τῷ ἁπλῷ. τὰ γὰρ εἰς ης λήγοντα ὑπὲρ μίαν συλλαβήν, ὀξυνόμενα, συντιθέμενα πάντα θέλει φυλάσσειν τὸν αὐτὸν τόνον, ὑπεσταλμένου τοῦ ἀληθής, σαφής, ἀσαφής, ἀντεραστής, φιλαθλητής· οὕτως καὶ φιλοψευδής. τὸ δὲ κριτής ἔσθ' ὅτε καὶ μεταβολὴν ποιεῖται τόνου οἷον ἐν τῷ ξενοκρίτης.

cf. etiam E. M. 435, 26: . . χωρὶς τοῦ κριτής καὶ ἀληθής. ταῦτα γὰρ ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον· οἷον ὀνειροκρίτης, φιλαλήθης.

6.

E. M. 476, 43.

. . . . ἀπὸ τοῦ εἴδω τὸ ὁμοιῶ, ὁ μέλλων εἴσω· πλεονασμῷ τοῦ κ εἴσκω· καὶ ἐπειδὴ οὐδέποτε

L. Herod. Π 41.

„ἴσκοντες“: ὁ Ἀσκαλωνίτης κατὰ ἀφαίρεσίν φησιν εἶναι τοῦ ε τὸ ἴσκοντες. Ἀρίσταρχος δὲ ἐκ-

τὰ διὰ τοῦ ισκω θέλει ἔχειν πρὸ τέλους τὴν ει δίφθογγον, γίνεται κατὰ διαίρεσιν εἴσκω, καὶ ἀποβολῇ τοῦ ε, ἴσκω· Ἰλιάδος λ' — 799 — „αἴ κέ σε τῷ ἴσκοντες ἀπόσχωνται πολέμοιο“ ἀντὶ τοῦ ὁμοιοῦντες.

τετάμένως ἀναγινώσκει παρὰ τὸ εἴσκω ἐκδεξάμενος. ἄμεινον δὲ ἡ τοῦ Πτολεμαίου ἀνάγνωσις. πρὸ γὰρ τῆς διὰ τοῦ σκω παραγωγῆς σπάνιόν ἐστι δίφθογγον εὑρεθῆναι, ὅτι μὴ τὴν αυ. ταύτῃ οὖν μοι δοκεῖ ἀπὸ τοῦ εἴδω εἶναι ὁ μέλλων εἴσω. καὶ ἅμα τῇ ἐπενθέσει τοῦ κ εἴσκω γεγενῆσθαι κατὰ τὴν διαίρεσιν, ἵνα μὴ δίφθογγος γένηται, καὶ ἀποβολῇ τοῦ ε ἴσκω. οὕτως οὖν καὶ τὸ ἴσκοντες ὀφείλομεν κατὰ ἀποβολὴν τοῦ ε ἀναγινώσκειν· οὐ γὰρ μέτρον κωλύει.

7.

E. M. 272, 13.

„διδάσκω“: . . . . . οὐδέποτε γὰρ τὰ εἰς κω ῥήματα κοινὰ ὄντα διφθόγγῳ τῇ διὰ τοῦ ι παραλήγεται. ὅθεν ἐπίμεμπτος Ἀρίσταρχος τὸ „αἴ κέ σε τῷ εἴσκοντες“ — Λ 799 — διὰ τῆς ει διφθόγγου γράφων, δέον διὰ τοῦ ι. πρόσκειται κοινὰ διὰ τὸ Αἰολικά. οἱ γὰρ Αἰολεῖς θναίσκω καὶ μιμναίσκω διὰ τῆς αι διφθόγγου λέγουσιν.

L. Herod. Λ 799.

„ἴσκοντες“: Ἀρίσταρχος ἀξιοῖ διὰ τῆς ει διφθόγγου γράφειν, ἐπεὶ ἐν ἑτέροις, φησί, τὸ κατὰ διαίρεσιν αὐτοῦ ὁρᾶται, εἴσκω λεγόμενον· „εἴσκω πηγεσιμάλλῳ“ — Γ 197 —. οἱ δὲ περὶ τὸν Ἀλεξίωνα διὰ τοῦ ι μόνου συνεσταλμένου. κἀγὼ δὲ τούτοις συγκατατίθεμαι τὸ μὴ δύνασθαι τὰ τοιαῦτα τῶν ῥημάτων, λέγω δὲ τὰ διὰ τοῦ σκω, ἔχειν πρὸ τέλους δίφθογγον ἐκφωνουμένην, ὅτι μὴ τὴν διὰ τοῦ υ, πιφαύσκω. ὁ δὲ λόγος παραιτεῖται τὴν Αἰολίδα διάλεκτον διὰ τὸ μιμναίσκω καὶ θναίσκω. ὥστε ὅτε λέγει εἴσκω κατὰ διαίρεσιν, ὑγιῶς πάνυ ἀποφαίνεται, εἴγε παρὰ τὸ εἴδω ἐξέπιπτε μέλλων ὁ εἴσω, ὃς ὤφειλεν ἐπενθέσει τοῦ κ ποιῆσαι τὸ εἴσκω, ὡς μεθύσω μεθύσκω, δράσω δράσκω. ἀλλ' ἐπεὶ ἀνέφικτον ἦν χωρῆσαι τὴν τοιαύτην δίφθογγον πρὸ τῆς σκω παραγωγῆς, διαιρέσει ἐχρήσατο. ὅπου δὲ οὐ παραδέχεται αὖ τὸ τῆς διαιρέσεως, ἐκεῖ ἐκβάλλει τὸ ε.

8.

E. M. 215, 21.

. . . . . τὸ δὲ κλειτός καὶ κλυτός, εἰ μὲν μετὰ ἀπτώτου συντεθῇ ὑπὲρ μίαν συλλαβήν, φυλάσσει τὴν ὀξεῖαν τάσιν· οἷον κλειτός, ἀγακλειτός. εἰ δὲ μετὰ πτωτικοῦ ἢ ἀπτώτου μονοσυλλάβου, προπαροξύνεται· πρόκλειτος, ὀνομάκλυτος. τὸ δὲ δουρὶ κλυτός ἐν παραθέσει.

L. Herod. K 109.

„δουρὶ κλυτόν“: τὸ κλυτός, εἰ πτωτικὸν κατάρχοι ἐν συνθέσει, βαρύτονόν ἐστι, τοξόκλυτος, ὀνομάκλυτος, εἰ δὲ ἄπτωτον φυλάσσει τὸν αὐτὸν τόνον, περικλυτός, ἀγακλυτός, διὸ σημειωτέον τὸ ναυσικλυτός ὀξυνόμενον. ὅτι γὰρ σύνθετόν ἐστι, δῆλον ἐκ τοῦ μένειν τὸ α τῆς ναυσί δοτικῆς. κατ' ἰδίαν γὰρ παρὰ τῷ ποιητῇ ἢ διὰ τοῦ η λέγεται ἢ διὰ τοῦ ε, ἐν δὲ συνθέσει διὰ τοῦ α, Ναυσικάα, Ναυσίθοος· τὸ μὲν οὖν δουρὶ κλυτός ἐν παραθέσει ἐστίν.

9.

E. M. 416, 22.

. . . . ἡ διὰ τοῦ δε παραγωγή, εἰ ἔχει πρὸ τέλους μακρόν, προπερισπᾶται. σεσημείωται τὸ „τῶδε δὲ νῶϊ“ — Θ 110 —.

L. Herod. Θ 110.

„τῶδε“: παροξύνεται τὸ τῶδε· παραλόγως. ἀληθὲς γὰρ ὡς ὅτι τὰ διὰ τοῦ δε ἐπεκτεταμένα, εἰ ἔχοι πρὸ τέλους φύσει μακράν, προπερισπᾶται. ὅπερ ὤφειλε κἀπὶ τοῦ „τῶδε δὲ νῶϊ“ εἶναι, ἀλλ' ὅμως πάλιν ἐπεκράτει καὶ ἐπὶ τούτου πρὸ τέλους ἡ ὀξεῖα. ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῇ ζ', ὅπου περὶ τοῦ ἰῷ διαλαμβάνει.

10.

E. M. 778, 30.

. . . . πᾶς παρῳχημένος χρόνος, τὸν προσγινόμενον αὐτῷ χρόνον ἀποβαλών, ἐν τῇ συνθέσει προπαροξύνεται· οἷον εἶχον, κάτεχον.

L. Herod. Γ 426.

„ἔνθα κάθιζ' Ἑλένη“: κάθιζ': συστέλλειν δεῖ τὸ ι καὶ προπαροξύνειν τὸ κάθιζε. ὅσα γὰρ παρῳχημένου χρόνου ῥήματα βραχυκατάληκτα ἐνέλειψε χρόνῳ κατὰ τὸ ἄρχον, ταῦτα συντιθέμενα ἀναδίδωσι τὸν τόνον· εἶχον συνεῖχον. ἀλλ' ἐπεὶ ἐγένετο ἔχε, ἀνεδόθη ὁ τόνος „νὺξ δὲ μάλα στυγερὴ κάτεχ' οὐρανόν“ — ν 269 —. οὕτως ἷζε κάθιζε. „Νέστωρ τ' αὐτὸς ἔφιζε“ — γ 411 —.

11.

E. M. 381, 59.

„ἔστε“: βαρύνεται. τὰ εἰς τε λήγοντα προστακτικά, ὁμοιοκατάληκτα ὄντα τοῖς ὁριστικοῖς, ὁμότονα καθεστήκασιν. οἷον ἤγετε, ἄγετε· ἐλέγετε, λέγετε. ἐπίστασιν οὖν ἔχει τὸ ἐστέ· τὸ μὲν ὁριστικὸν ὀξύνεται· τὸ δὲ προστακτικὸν βαρύνεται· ὁμοίως καὶ τὸ φατέ.

L. Herod. Γ 280.

„μάρτυροι ἔστε“: παροξύνεται τὸ ἔστε, ἵνα προστακτικὸν γένηται ὁμοίως τῷ φυλάσσετε. πιθανωτέρα γὰρ ἡ τοιαύτη ἀνάγνωσις. πολλὰ γάρ ἐστι προστακτικὰ ὡς πρὸς τοὺς θεοὺς „Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι, ποίησόν τ' αἴθρην, δός τ' ὀφθαλμοῖσιν“ — Ρ 645 —. ἀναγκαῖον μέντοι ἐστὶ παραφυλάξαι ἐκεῖνο, ὡς ὅτι τὰ εἰς τε λήγοντα πληθυντικὰ ὁριστικὰ καὶ προστακτικὰ ἀεὶ ὁμοτονεῖ ὑπεσταλμένου τοῦ ἔστε, οἷον λέγετε — ὅτι λέγετε, ἄγετε — ὅτι ἄγετε.

cf. Crameri Anecd. T. I, 152, 16. — Etym. Gud. 213, 18. Lentzium I, 464, 20.

12.

E. M. 806, 10.

„χαμᾶζε“: διατί προπερισπᾶται, τοῦ κανόνος λέγοντος, ὅτι τὰ εἰς ζε λήγοντα ἐπιρρήματα τῷ α παραληγόμενα προπαροξύνεται, θύραζε, ἔραζε; ὅτι ἐκεῖνα μὲν ἀπὸ ὀνομάτων γίνεται, οἷον θύραζε ἐκ τῆς θύρας, ἔραζε ἐκ τῆς ἔρας· καὶ Ἀθήναζε ἀπ' Ἀθηνῶν. τοῦτο δὲ ἀπὸ ἐπιρρήματός ἐστιν. ἀπὸ γὰρ τοῦ χαμαὶ γέγονε . . . . .

L. Herod. Γ 29.

„χαμᾶζε“: προπερισπᾶται. ἐχρῆν δὲ πρὸς τὸν χαρακτῆρα τρίτην ἀπὸ τέλους εἶναι τὴν ὀξεῖαν συστελλομένου τοῦ ᾱ, ὥσπερ τὸ Ἀφίδναζε, Θήβαζε, ἔραζε, χωρὶς εἰ μή ἐστιν ἀφορμὴ ὅτι ταῦτα ἀπὸ ὀνομάτων, τοῦτο δὲ ἀπὸ ἐπιρρήματος τοῦ χαμαί. τὸ δὲ μέταζε χρονικὸν παρὰ πρόθεσιν παρῆκται.

cf. Cramer. Anecd. I, 439, 7. — Etym. Gud. 559, 57. Eust. 377, 3.

13.

E. M. 282, 42.

„δολομῆτα“: . . . τὰ εἰς ης βαρύτονα τῷ η παραληγόμενα, καὶ εἰς ᾱ τὴν κλητικὴν ἔχοντα, προπερισπῶνται, πεδῆτα, ἀγκυλομῆτα· πλὴν τοῦ ἀκάκητα.

L. Herod. A 540.

„δολομῆτα“. προπερισπαστέον τὸ δολομῆτα ὁμοίως τῷ „σχέτλιε ποικιλομῆτα“ — ν 293 —. καὶ καθόλου τὰ εἰς της λήγοντα βαρύτονα, ὅτε ἐπὶ κλητικῆς εἰς ᾱ λήγει, προπερισπᾶται, ἀλῆτα, πλανῆτα, νικῆτα, πεδῆτα, αἰσυμνῆτα. ἔνθεν οὖν σημειωτέον τὸ ἀκάκητα.

14.

E. M. 636, 28.

„ὅτ᾽ ἂν“: τὸ ὅτ᾽ ἂν ἐπίρρημα οὐ δύναται εἶναι· τὰ γὰρ εἰς αν ἐπιρρήματα ἐκτείνεται. τὸ πάμπαν ὀνοματικόν. τὸ δὲ ὅτ᾽ ἂν κατὰ συστολὴν δύο μέρη λόγου εἰσίν, ὅτε ἄν. ὁμοίως καὶ τὸ ὁπότ᾽ ἄν.

cf. Etym. Gud. 438, 35.

L. Herod. A 519.

„ὅταν“: τὸ τέλειον ὅτε ἄν ἐστι, καὶ κατὰ συναλοιφὴν ὅτ᾽ ἄν. ἐν δὲ τῇ συντάξει κεκοίμισται ἡ ὀξεῖα τοῦ ἄν, ὡς τὸ „οὐκ ἂν ἐφ᾽ ὑμετέρων ὀχέων“ — Θ 455 —. „οὐκ ἂν δὴ μείνειας“ — Γ 52 —. ἀεὶ οὖν οὕτως ὀφείλομεν ἀναγινώσκειν ἐπὶ τὴν ἄρχουσαν ὀξεῖαν ποιοῦντες· „ὡς δ᾽ ὅταν ὠδίνουσαν“ — Λ 269 — καὶ τοτὲ μὲν ἐν σημαινομένῳ ὀφείλομεν παραλαμβάνειν τὸ ἄν, ὅταν ὑποτακτικὸν ἐπιφέρῃ ἢ εὐκτικόν, τοτὲ δὲ παρέλκοντα, ὅταν μὴ οὕτως ἔχῃ· πρόδηλον δὲ ἐκ τοῦ χαρακτῆρος, ὅτι οὐ δύναται ἓν εἶναι, εἴ γε τὰ εἰς αν ἐπιρρήματα οὐδέποτε συστέλλει τὸ α. τὸ γὰρ πάμπαν οὐ φύσει ἐπίρρημα. ἀλλὰ μὴν οὐδὲ σύνθετον δύναται εἶναι. οὐδέποτε γὰρ τὰ ἀναφορικὰ τῶν ἐπιρρημάτων κατ᾽ ἀρχὴν συντίθεται.

15.

E. M. 315, 6.

. . . . ἔγωγέ ἐστι προπαροξύτονον. καὶ δῆλον[1]), ἓν μέρος λόγου ἐστί, τῆς γε ἐπεκτάσεως οὔσης. „οὐδέ σ᾽ ἔγωγε λίσσομαι“ — A 173 —.

L. Herod. A 173.

„ἔγωγε“. οὕτως προπαροξυτονητέον τὸ „ἔγωγε“, ἵν᾽ ᾖ ἕν.

[1]) post δῆλον addendum est ὅτι. Be. cf. L. Herod. ad A 174 et Ξ 396. Quae antecedunt ἐκ τῶν Ἡρωδιανοῦ περὶ παθῶν in E. M. transierunt, vide Lentzium II, 199.

16.

E. M. 415, 45.

„ἦ γηθήσαι Πρίαμος“ — A 255 — σύνδεσμος διαβεβαιωτικός. καὶ δεῖ περισπᾶσθαι ἀντὶ τοῦ ὄντως ἂν χαρείη . . .

L. Herod. A 255.

„ἦ κεν γηθήσαι Πρίαμος“: περισπαστέον τὸ ἦ. βεβαιωτικὸς γάρ.

Quae sequuntur in Etym. M. ab v. 45 usque ad 416, 9 valde decurtata et depravata sumpta sunt ex Herodiani περὶ καθολικῆς προσῳδίας, v. Lentzium I, 516, 28.

17.

E. M. 346, 38.

„Ἐξάδιος“: ὄνομα κύριον, ὁ ἐξοχὴν ἐν τῷ διώκειν ἔχων. τὸ ε πρὸ τοῦ ξ δασύνεται. τὸ δὲ Ἐξάδιον ψιλοῦται, ἐπεὶ διφορεῖται τὸ ὄνομα, Λεξάδιος καὶ Ἐξάδιος, ὡς Ὀβριάρεως καὶ Βριάρεως, Ὀϊλεὺς καὶ Ἰλεύς.

L. Herod. A 264.

„Ἐξάδιον“. παρὰ τῷ ποιητῇ ἀπὸ τοῦ ε τὸ ὄνομα ἤρξατο. παρὰ δὲ τοῖς νεωτέροις καὶ χωρὶς τοῦ ε εὑρέθη, ὡς καὶ Ὀϊλεύς μὲν παρὰ τῷ ποιητῇ καὶ παρ' Ἡσιόδῳ. εἰ δὲ χρὴ πρὸς τὸν χαρακτῆρά τι λέγειν, ἐκεῖνο ἔχομεν εἰπεῖν, ὡς ὅτι ἐχρῆν δασύνεσθαι αὐτό· τὸ γὰρ ε πρὸ τοῦ ξ, ὑποστελλομένων τῶν παρὰ τὴν ἐξ πρόθεσιν, θέλει δασύνεσθαι, ἕξις, ἑξῆς, ἕξω. χωρὶς εἰ μὴ λέγοι τις διὰ τὴν ἰδιότητα τὸ πνεῦμα μεταπεπτωκέναι.

cf. Eustath. 101, 19. — Crameri Anecd. II, 424, 29.

18.

E. M. 267, 39.

„διακρινθεῖτε“ — ἄλλοι δὲ διακρινθεῖτε τάχιστα“ — Ἰλιάδος γ' — 102 — . . . . . τὸ εὐκτικὸν διακρινθείημεν, διακρινθείητε, καὶ κατὰ συγκοπὴν διακρινθεῖτε, ὡς τὸ διακοσμηθεῖμεν ἐκ τοῦ κοσμηθείημεν κατὰ συγκοπήν . . . .

cf. Etym. Gud. 143, 47. Eust. 1756, 17.

L. Herod. Γ 102.

„διακρινθεῖτε“: οὕτως προπερισπᾶται διακρινθεῖτε. ἔστι γὰρ εὐκτικόν, κατὰ πάθος γεγονὸς ἐκ τοῦ διακρινθείητε, ὁμοίως τῷ „καὶ εἴ ποθεν ἄλλ' ἐπιθεῖτε“ — χ 62 —. ὧν πάλιν πρῶτα διακρινθείημεν καὶ διακρινθεῖμεν, ὥσπερ καὶ τὸ „ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί“ — B 126 —.

19.

E. M. 65, 58.

„ἀλκί“: . . . . ἡ δοτικὴ τῇ ἀλκῇ καὶ κατὰ μεταπλασμὸν ἀλκί, οἷον „ἀλκὶ πεποιθώς“ — E 299 — . . . . ἢ ἀπὸ τοῦ ἄλξ ἀλκός ἀλκί . . . .

L. Herod. E 299.

τὸ „ἀλκί“ μεταπλασμὸν ἔπαθεν ἀπὸ τῆς ἀλκῇ δοτικῆς. ὁ Ἀσκαλωνίτης δὲ οἴεται ἀπὸ τῆς ἄλξ εὐθείας κλιθῆναι τὸ ἀλκί. Τρύφων δὲ ἐν τῷ πρώτῳ περὶ τῆς ἀρχαίας ἀναγνώσεώς φησιν, ὅτι Ἀρίσταρχος λέγει, ὅτι ἔθος τοῖς Αἰολεῦσίν ἐστι λέγειν τὴν ἰωκήν ἰῶκα καὶ τὴν κρόκην κρόκα καὶ τὴν ἀλκήν ἄλκα ὡς σάρκα· εἰ δὲ σάρκα ὡς ἄλκα, καὶ ἀλκί ὡς σαρκί.

Eust. 549, 10 ad verbum conspirat cum Ven. A.

20.

E. M. 422, 4.

„ἠθεῖος“: Ἰλιάδος κ' — 37 — „τίφθ' οὕτως ἠθεῖε κορύσσεαι;“ καὶ Ἰλιάδος ζ' — 518 — „ἠθεῖ', ἦ μάλα δή σε καὶ ἐσσύμενον κατερύκω“. ἔστι δὲ προσφώνησις τιμητικὴ νεωτέρου ἀδελ-

L. Herod. Z 518.

„ἠθεῖε“: Ἀρίσταρχος προπερισπᾷ ὡς οἰκεῖε. καὶ ἴσως παρὰ τὸ θεῖος, λέγω δὲ τὸ σημαντικὸν τοῦ ἐπαίνου, κατὰ πλεονασμὸν τοῦ η ἐγένετο, εἰ καὶ νεωτέρου ἐστὶ πρὸς πρεσβύτερον ἀδελφὸν ἔχουσα

φοῦ πρὸς πρεσβύτερον καὶ παλαιότερον κατὰ τιμήν . . . . . γίνεται δὲ παρὰ τὸ θεός θέϊος· καὶ συναιρέσει τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον θεῖος. καὶ πλεονασμῷ τοῦ η ἠθεῖος . . . . σεβασμὸν προσφώνησις. οὐκ ἀγνοῶ δὲ ὅτι συγχεῖται ἐν τοῖς μεθ' Ὅμηρον.

cf. Etym. Gud. 238, 30. Orion. 68, 18. Sequentia ἐκ τῶν Ἡρωδιανοῦ περὶ παθῶν in E. M. transierunt v. Lentzium II, 171, 20.

21.

E. M. 649, 44.

. . . . καὶ γὰρ ὁ ποιητὴς ἔθος ἔχει τὰς συνθέτους λέξεις διαλύειν [1]), οἷον χηρεσσιφορήτους, οὓς χῆρες φορέουσι.

L. Herod. Θ 527.

„χηρεσσιφορήτους“: συνθέτως ἀνέγνω ὁ Ἀρίσταρχος καὶ οἱ πλείους. ἴσως δὲ ἐπεὶ ἀναλύει αὐτὸ „οὓς χῆρες φορέουσιν“. ἔθος γὰρ αὐτῷ πολλάκις τὰ σύνθετα ἀναλύειν [1]). οὐδέποτε δὲ δοτικὴ ἐπεκτεταμένη κατ' ἀρχὴν συντέθειται, οἷον πᾶσι καὶ πάντεσσι — πασιμέλουσα — μ 70 —, οὐχὶ παρὰ τὴν πάντεσσι ἡ σύνθεσις. Ναυσικάα, Ναυσίθοος, ἐγχεσίμωροι, τειχεσιπλήτης. κατ' ἀρχὴν δὲ προσέθηκα διὰ τὸ παρ' Ἐπιχάρμῳ κατὰ τέλος συντεθειμένον „γυναικάνδρεσσι ποθεινοί“. εἴπερ οὖν τοῦτο ἀληθές, δῆλον ὅτι παράλογον τὸ χηρεσσιφορήτους κατὰ σύνθεσιν ἀναγνωσθέν· ἀλλ' ὅμως ἐπεκράτησεν ἡ Ἀριστάρχειος, δι' ὃν εἴπομεν λόγον.

[1]) corr. ut in Venet. A. ἀναλύειν. Herodiani adnotamentum transiit etiam in Eust. 727, 45.

22.

E. M. 782, 15.

„ὑποδεξίη“: Ἰλιάδος ι' — 73 — σημαίνει τὸ ὑποδέχεσθαι. ὡς παρὰ τὸ ἀνόρεκτος ἀνορεξία, οὕτως ὑπόδεκτος ὑποδεξία. ἕνεκα μέτρου ἐξέτεινε τὸ ι.

cf. Eust. 736, 55.

L. Herod. I 73.

„ὑποδεξίη“ ὡς Ἀργείη, τὸ δὲ ἀκόλουθον ὤφειλεν εἶναι κοινὸν ὑποδεξία ὡς παρὰ τὸ ἀνόρεκτος ἀνορεξία. ταῦτα ἐν τῇ προσῳδίᾳ· ἐν μέντοι τῇ καθόλου οὕτως· „πᾶσά τοί ἐσθ' ὑποδεξίη“. ἕνεκα μέτρου ἔκτασιν ἔπαθε τοῦ ι. ἀγνοίᾳ μέντοι τἀκριβοῦς διὰ τῆς ει διφθόγγου τὴν γραφὴν ποιοῦνται, καὶ οὕτως ἔχει ἡ τῶν ἀντιγράφων παράδοσις.

23.

E. M. 534, 14.

„Κουρῆτες“: προπερισπᾶται ἐπὶ τοῦ ἔθνους . . . ἐπὶ τῶν νεῶν δὲ προπαροξύνεται, ὡς τὸ „κούρητες Ἀχαιῶν“ — Τ 248 —.

cf. Eust. 1179, 21.

L. Herod. I 529.

„Κουρῆτες“: οὕτως ἀνεγνώσθη ὡς ἀβλῆτες, πρὸς διαστολὴν τοῦ „κούρητες Ἀχαιῶν“ — Τ 248 —. οὐκ ἐχρῆν δέ, καθότι οὐ φιλεῖ τὰ εἰς ης λήγοντα ἐθνικὰ ὑπὲρ μίαν συλλαβὴν ὀξύνεσθαι. ἐλέγχεται δὲ καὶ ἡ κλίσις τοῦ Κουρῆτες ἐν τῇ κλίσει τῶν ὀνομάτων.

24.

E. M. 567, 5.

„λίς“: . . . . . „ὥστε λὶς ἠϋγένειος“ — P 109 — οὗ ἡ αἰτιατικὴ „ἐπεί τε λίν' ἤγαγε δαίμων“ — Λ 480 —. τὸ πλῆρες λίνα, ὅ ἐστι λέοντα, Δωρικῶς. ἔδει μέντοι περισπᾶσθαι, ὡς μῦς μῦν. Ἀριστάρχῳ δὲ ἐπείσθη ἡ παράδοσις ὀξύνοντι. τὸ δὲ πληθυντικὸν παρὰ Καλλιμάχῳ λίες. καὶ λίεσιν ὡς μύεσι. λαμβάνεται δὲ καὶ ἐπιθετικῶς ἐπὶ τῆς λείας πέτρας, ὡς τὸ „πέτρη γὰρ λίς ἐστι“ — μ 79 —.

cf. ad Λ 480. Eust. 841, 23.

L. Herod. Λ 239.

„λίς“: ὁ μὲν Ἀρίσταρχος ὀξύνει· ὁ δὲ Αἰσχρίων περισπᾷ. ὡς γὰρ παρὰ τὸ μῦς μῦν φησι καὶ νοῦς νοῦν, οὕτως καὶ λῖς λῖν· „ἐπί τε λῖν ἤγαγε δαίμων“ — Λ 480 —. καὶ ἔστι συγκατατίθεσθαι τῷ Αἰσχρίωνι, ὅτι μᾶλλον ὀφείλει περισπᾶσθαι, εἰ καὶ μηδὲν τῶν εἰς ις ληγόντων καὶ ἀρσενικὸν γένος ὑπισχνουμένων περιεσπάσθη· καὶ τάχα καθ' ἕτερον λόγον, ἵνα τὸ ἐπιθετικὸν καὶ σημαῖνον γένος θηλυκὸν καὶ ὀξυνόμενον ἀποφύγῃ. λέγω δὲ τὸ „λίς πέτρη“ — μ 64 —. τῷ μέντοι χαρακτῆρι τοῦ κίς καὶ θίς καὶ ῥίς, καίτοιγε διαφόρως κλιθεῖσι πρὸς τὸ λίς, συνεξωμοίωσεν αὐτὸ κατὰ τόνον ὁ Ἀρίσταρχος· καὶ οὕτως ἐπείσθη ἡ παράδοσις.

25.

E. M. 382, 18.

„ἔσταν δ' ἐν λιμένι“ — B 467 —. τοῦτο μὲν δασύνεται, ἐπειδὴ ἀπὸ τοῦ ἑστήκεισάν ἐστι κατὰ συγκοπήν· ὁ δὲ παρακείμενος καὶ ὑπερσυντέλικος ἐπὶ τούτου τοῦ ῥήματος δασύνεται. τὸ δὲ „τοὺς ἔστασαν υἷες Ἀχαιῶν“ — M 56 — ψιλοῦται· ἐπειδὴ ἀπὸ τοῦ ἔστησάν ἐστι πρῶτος ἀόριστος.

cf. Herod. ad B 777.

L. Herod. M 55. 56.

τὸ μὲν πρότερον „ἕστασαν“ δασύνει ὁ Ἀρίσταρχος, ἐπειδήπερ τὸ αὐτό ἐστι τῷ ἑστήκεισαν. ἔφαμεν δὲ καὶ ἡμεῖς — B 777 —, δασύνεσθαι τὸ ε τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ ἐπὶ τούτου τοῦ ῥήματος. τὸ μέντοι δεύτερον ψιλοῖ. ἰσοδυναμεῖ γὰρ τῷ ἔστησαν. οὓς ἔστησαν γὰρ οἱ Ἀχαιοί. τὸ δὲ ε τοῦ ἀορίστου ἐπὶ τούτου τοῦ ῥήματος ἐψιλοῦτο. συγκατατίθεται δὲ καὶ ὁ Ἀσκαλωνίτης τῇ τοιαύτῃ ἀναγνώσει· καὶ ἡμεῖς.

26.

E. M. 79, 28.

τὸ „ἁμάς“ ἐκτείνεται κατὰ τὸ τέλος. ἔστι τοίνυν ἁμετέρας καὶ κατὰ συγκοπὴν ἁμάς, ἡμετέρας, Δωρικῶς.

L. Herod. N 96.

„ἁμάς“: ἡμετέρας. τὸ ἁμάς ἐκτείνεται κατὰ τὸ τέλος, καίτοι Δώριον ἔχον τὴν πρὸ τέλους συλλαβήν, ἐπεὶ ἑνικῷ παράκειται τῷ διὰ τοῦ η λεγομένῳ, ἁμήν, ὅπερ ὁλόκληρον ἂν ἦν Δωρικόν, εἴπερ εἰς αν κατέληγεν.

27.

E. M. 427, 40.

„ἠλίβατος“ . . . . ἀπὸ τοῦ ἀλιτῶ, ἀλιτόβατος· καὶ συγκοπῇ ἀλίβατος· καὶ ἐκτάσει ἠλίβατος . . . . οἱ δὲ δασύνουσι λέγοντες παρὰ τὸν ἥλιον, ἡλιό-

L. Herod. O 619.

„ἠλίβατος“: ψιλῶς. ἀπὸ γὰρ τοῦ ἀλιτεῖν ἐσχημάτισται. καὶ ὤφειλεν ὅμοιον εἶναι τῷ ἠλιτόμηνος, συγκοπὴν δὲ ἔπαθεν. διδάσκει δὲ καὶ

βατος, ἠλίβατος, ὅπου πρῶτον ὁ ἥλιος βαίνει. οὐκ ἐπείσθη δὲ αὐτοῦ ἡ παράδοσις . . . . .

τὸ τῆς συναλοιφῆς ὅτι ψιλοῦται· „τὸν μὲν τ' ἠλίβατος πέτρη“ — 273 —. οἱ μέντοι δασύνοντες ἐτυμολογοῦσι παρὰ τὸν ἥλιον, τὴν ἡλίῳ βατὴν οὖσαν μόνῳ. οὐκ ἐπείσθη δὲ ἡ παράδοσις, ὡς πρόδηλον ἐγένετο ἐκ τῆς συναλοιφῆς.

cf. Crameri Anecd. I, 194, 9. Eust. 1040, 34 Herodiani verba servavit.

28.

E. M. 495, 29.

„καταχρῆθεν“: κατὰ κρατός. παρὰ τὸ χαρή ὀξυνόμενον γίνεται χαρῆθεν, καὶ κατὰ συγκοπὴν χρῆθεν· καὶ Ἡσίοδος ἀποχρῆθεν εἶπεν.

L. Herod. Π 548.

. . . . τί οὖν θαυμαστὸν εἰ παρὰ τὸ χαρή ὀξυνόμενον χαρῆθεν ἐστὶ καὶ χρῆθεν ἐν συγκοπῇ; τοῦτο δέ φημι, ἐπεὶ καὶ Ἡσίοδος (Scut. 7) οὕτως ἐξεδέξατο εἰπὼν τὸ „τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων“.

Herodiani verba accuratius servata sunt in Etym. Gud. 304, 52: καταχρῆθεν: παρὰ τὸ χαρή ὀξυνόμενον γίνεται χαρῆθεν· καὶ κατὰ συγκοπὴν χρῆθεν. τοῦτο καὶ Ἡσίοδος ἐξεδέξατο εἰπὼν „τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων“. cf. Eust. 1257, 53.

29.

E. M. 511, 46.

„κῆρυξ“: . . . οὐδέποτε πρὸ τῶν διπλῶν εὑρήσεις δίχρονον ἐκτεταμένον· ἐπὶ (ἑνὸς) μόνου στίχου συνεστάλη ἐν τῷ „κήρυκι Ἠπυτίδῃ“ — P 324 —.

L. Herod. P 324.

„κήρυκι“: διὰ μέτρον συσταλτέον τὸ ρυ. (v. K 258.)

30.

E. M. 19, 37.

„ἀέκηλα ἔργα“: κατὰ ἀπόφασιν τοῦ ἕκηλου· ἐφ' οἷς οὐχ οἷόν τε ἡσυχάζειν, οἷον οὐχ ἥσυχα οὐδ' εἰρηναῖα, ἀλλὰ ταραχώδη. ἢ ἀκούσια, ἃ οὐκ ἄν τις ἑκὼν πάθοι.

L. Herod. Σ 77.

ὁ Ἀσκαλωνίτης „ἀέκηλα“, οἷον οὐχ ἥσυχα οὐδὲ εἰρηνικά, ἐπεὶ ἕκηλος ὁ ἥσυχος, ὥστε στέρησιν αὐτὸν ἐκδέχεσθαι. , οὕτως δὲ καὶ Ἀρίσταρχος, οἷον ταραχώδη. ἢ ἀκούσια, ἃ οὐκ ἄν τις ἑκὼν πάθοι. ὁμοίως δὲ καὶ Ἀλεξίων· καὶ ἔχονται τοῦ δηλουμένου.

31.

E. M. 337, 4.

„ἐμωχυμόρῳ“: ἐμῷ ὠκυμόρῳ. καὶ ἐκθλίβεται τὸ ι τῆς ἐμῷ ἀντωνυμίας, διὰ τὸ μηδέποτε γίνεσθαι κρᾶσιν τοῦ ι μέσου ὄντος. καὶ λοιπὸν κιρνᾶται τὰ δύο ωω εἰς ω, καὶ γίνεται ἐμωκυμόρῳ, χωρὶς τοῦ ι.

cf. Lentzium II, 506.

L. Herod. Σ 458.

ἔξω τοῦ ι τὸ „ἐμωχυμόρῳ“. συνεκτέθλιπται γὰρ τῷ ω τὸ ι.

32.

L. M. 501, 35.

. . „ῥόος κελάδων“ — Φ 16 — βαρυτόνως. κλίνεται κελάδοντος.

L. Herod. Φ 16.

„κελάδων“: βαρυτονητέον τὴν μετοχήν· κελάδοντος γὰρ ἡ γενική, καὶ ἡ αἰτιατικὴ κελάδοντα „πὰρ ποταμὸν κελάδοντα“ — Σ 576 —, οὐ κελαδοῦντα.

V.

Discedenti mihi iam ab opere, ne huius dissertationis magnitudo longius procedat, unum restat, ut locum exponam Etymologici Magni, ubi, quemadmodum mea quidem fert opinio, Herodiani adnotamentum nobis videtur conservatum esse, quod Lentzii admirabilem subtilitatem intentionemque effugit. Ad O 17 praescribit Herodianus: προπαροξυτονητέον τὸ „ἐπαύρηαι“, ὁμοίως τῷ „εἰσόκε τοὺς ἀφίκηαι“ — λ 122 —· ἔστι γὰρ μέσος δεύτερος ἀόριστος· ταὐτὸν δὲ λέγομεν καὶ περὶ τοῦ „σὺ δέ κεν κακὸν οἶτον ὄληαι“ — Γ 417 —· καὶ γὰρ οὗτος μέσος δεύτερος ἀόριστος et ad Z 229: „δύνηαι“: ὡς λέγηαι καὶ φέρηαι· „σὺ δέ κεν κακὸν οἶτον ὄληαι“ — Γ 417 —. Τυραννίων δὲ προπερισπᾷ. Loco citato Γ 417 Venet. A. nihil exhibet, sed E. M. p. 621, 32 s. v. „ὄληαι“ haec habet: Τυραννίων προπερισπᾷ καὶ τὸ ἰῶτα προσγράφει, οἰόμενος παρέλκειν τὴν ᾱι. οὕτω καὶ ἐπὶ τοῦ „πρώτῃ ἐπαύρῃαι“. ἔστι δὲ μέσος ἀόριστος δεύτερος, καὶ οὐ προπερισπᾶται*) οὐδὲ προσγράφεται τὸ ῑ. Huius adnotationis vestigia exstant etiam in cod. Victoriano ad l. c.: ὄληαι ὡς πύθηαι· μέσος γὰρ δεύτερος ἀόριστος.

*) sic cod. V.

Lipsiae, typis Breitkopfii et Haertelii.

In demselben Verlage erschien ferner:

OTTO CARNUTH,

DE ETYMOLOGICI MAGNI FONTIBUS.

(PARS PRIOR.)

Lex.-8. 1873. geh. M. 1. 60.

NICANORIS

ΠΕΡΙ ᾿ΟΔΥΣΣΕΙΑΚΗΣ ΣΤΙΓΜΗΣ

RELIQUIAE EMENDATIORES.

EDIDIT

OTTO CARNUTH.

gr. 8. 1875. geh. M. 2. 40.

Druck von Breitkopf und Härtel in Leipzig.